νεὼ ἐν ὑπαίθρῳ αὐτοῦ τὸ ἄγαλμα καθίδρυται παρὰ τῇ εἰσόδῳ. τάττεται δὲ ἐπὶ τῶν εὐηθές τι διαπραττομένων. Zenob. 5 13.

μωρούς (1 Cor. 3 19). τοὺς τοῦ κόσμου σοφοὺς καλεῖ μωρούς.

μῶσθαι. (Iulian. or. 7 p. 219) "τὸ λανθάνον μῶσθαι καὶ πολυπραγμονεῖν" ἀντὶ τοῦ ζητεῖν παρὰ Λάκωσι.

μῶυ τὸ ὕδωρ παρ' Αἰγυπτίοις, ἐξ οὗ καὶ Μωυσῆς.

Μωυσῆς ὁ προφήτης καὶ νομοθέτης. ὅτι ἐν τῷ π' τούτου ἔτει ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου, ἐν ᾗ παρῴκησαν ἔτη σιε'. πῶς οὖν φησὶν ὁ θεὸς πρὸς τὸν Ἀβραάμ (Gen. 15 3) ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἔτη υ'; ἀλλὰ δῆλον ὅτι ἀπὸ τῆς ἀναβάσεως Ἀβραὰμ ἐκ Χαρὰν δεῖ τὴν τοῦ λαοῦ παροικίαν ἀριθμεῖν· οὐ γὰρ ἐν Αἰγύπτῳ μόνῃ γέγονεν ἡ παροίκησις, ἀλλὰ καὶ ἐν γῇ Χαναάν. Μωυσῆς γὰρ λέγει (Exod. 12 40) "ἡ δὲ παροίκησις τῶν υἱῶν Ἰσραὴλ ἐν γῇ Χαναὰν καὶ ἐν Αἰγύπτῳ ἔτη υ' καὶ λ'," καὶ τοῦ μὲν Ἀβραὰμ ἀπὸ τῆς ἐκ Χαρὰν ἀναβάσεως μέχρι τῆς Ἰσαὰκ γεννήσεως ἔτη κε', ἀπὸ δὲ Ἰσαὰκ μέχρι Ἰακὼβ ἔτη ξ', ἀπὸ δὲ Ἰακὼβ μέχρι τοῦ Λευὶ πζ', ἀπὸ Λευὶ μέχρι Καὰθ με', ἀπὸ Καὰθ μέχρι Ἀμρὰμ ξγ', ἀπὸ Μωυσέως μέχρι τῆς ἐξόδου π'. καὶ οὕτως ἐξῆλθεν Ἰσραὴλ ἐκ τῆς Αἰγύπτου.

τοῦ Μωυσέως γεννηθέντος οἱ τεκόντες δεδιότες τοὺς Αἰγυπτίους μηχανῶνται πλέγμα βύβλινον, ἐμφερὲς τῇ κατασκευῇ κίσιδι, μέγεθος ποιήσαντες αὔταρκες εἰς τὸ μετ' εὐρυχωρίας ἐναποκεῖσθαι βρέφος· ἔπειτα χρίσαντες ἀσφάλτῳ κατὰ τοῦ ποταμοῦ βάλλουσι. Θερμοῦθις δὲ ἡ θυγάτηρ τοῦ βασιλέως τοῦτον ἀνείλετο. τριετεῖ δὲ γενομένῳ θαυμαστὸν ὁ θεὸς τὸ τῆς ἡλικίας ἐξῆρεν ἀνάστημα. Ioseph. A. I. 2 9.

ὅτι Μωυσῆς δὲ π' ἡμέρας ἐνήστευσε, μ' τὰς προτέρας καὶ μ' μετὰ τὸ συντρῖψαι τὰς πλάκας, σαπφείρῳ λίθῳ δακτύλῳ θεοῦ γραφείσας.

Νaασών ὄνομα κύριον.

νάβα παρὰ Ῥωμαίοις τὸ πορθμεῖον. φαίνεται δὲ ἐν πολλοῖς μὴ διεστῶσα τῆς Ἑλλάδος φωνῆς ἡ Ῥωμαϊκή· ναῦς γὰρ καὶ νάβα ἐγγύς.

Ναβάται γένος Ἀράβων· "ὃ δὲ πέμπει πρὸς Ἄραβας τοὺς λεγομένους Ναβάτας." καὶ Ναβαταῖοι ἐθνικόν.

Νάβις Νάβιδος Λακεδαιμονίων τύραννος.

νάβλα εἶδος ὀργάνου.

Ναβουθαί. οὗτος ἦν ἐπὶ Ἀχαάβ, ἐξ Ἰζάρου πόλεως, ἀγρογείτων ὤν. τοῦ δὲ βασιλέως παρακαλοῦντος. αὐτὸν ἀποδίδοσθαι τιμῆς ὅσης βούλεται τὸν πλησίον αὐτοῦ τῶν ἰδίων ἀγρόν, ἵνα συνάψας ἓν αὐτὸ ποιήσῃ κτῆμα, εἰ δὲ μὴ βούλοιτο χρήματα λαβεῖν, ἐπιτρέψαντος ἐκλέξασθαι τῶν ἀγρῶν τινὰ τῶν ἐκείνου, τοῦτο μὲν οὔ φησι ποιήσειν, αὐτὸς δὲ τὴν ἰδίαν καρπώσεσθαι γῆν, ἣν ἐκληρονόμησε τοῦ πατρός. λυπηθεὶς δὲ ὡς ἐφ' ὕβρει τῷ μὴ τἀλλότρια λαβεῖν ὁ βασιλεὺς οὔτε λουτρὸν προσηνέγκατο οὔτε τροφήν. τῆς δὲ Ἰεζάβελ πυνθανομένης ὅ τι λυπεῖται, διηγήσατο αὐτῇ τὴν Ναβουθαὶ σκαιότητα, καὶ ὡς χρησάμενος ἐπιεικέσι πρὸς αὐτὸν λόγοις καὶ βασιλικῆς ἐξουσίας ὑποδεεστέροις ὑβρισθείη, μὴ τυχὼν ὧν ἠξίου. ἡ δὲ μὴ μικροψυχεῖν ἐπὶ τούτοις παρεκάλει, παυσάμενον δὲ τῆς λύπης ἐπὶ τὴν συνήθη τραπέσθαι πρόνοιαν· μελήσειν γὰρ αὐτῇ περὶ τῆς Ναβουθαὶ τιμωρίας. καὶ παραχρῆμα πέμπει γράμματα πρὸς τοὺς ὑπερέχοντας τῶν Ἰουδαίων, ἐκ τοῦ Ἀχαὰβ ὀνόματος, νηστεῦσαι κελεύουσα, καὶ ποιησαμένους ἐκκλησίαν προκαθίσαι μὲν αὐτῶν Ναβουθαί (εἶναι γὰρ αὐτὸν ἐκ γένους ἐπιφανοῦς), παρασκευασαμένους δὲ τρεῖς τολμηροὺς καταμαρτυρήσοντας αὐτοῦ ὡς τὸν θεὸν εἴη βλασφημήσας καὶ τὸν βασιλέα, καταλεῦσαι καὶ τούτῳ διαχρήσασθαι τῷ τρόπῳ. καὶ οὕτως ἀπέθανε, καὶ προῖκα ἐκληρονόμησεν Ἀχαὰβ τὸν ἀμπελῶνα. ἀγανακτήσας δὲ ὁ θεὸς πέμπει Ἠλίαν τὸν προφήτην πρὸς Ἀχαὰβ περὶ τῶν πεπραγμένων ἐλέγξοντα. καὶ εἶπε τῷ Ἀχαάβ "ἀνθ' ὧν ἀπέκτεινας ἀδίκως τὸν ἀληθῆ δεσπότην τοῦ χωρίου, κατ' ἐκεῖνον τὸν τόπον ἐν ᾧ τὸν Ναβουθαὶ νεκρὸν συνέβη ὑπὸ κυνῶν δαπανηθῆναι, τό τε σαυτοῦ αἷμα καὶ τὸ τῆς γυναικὸς ἐκχυθήσεται, καὶ πᾶν σου τὸ γένος ἀπολεῖται τοιαῦτα ἠσεβηκότος." ὁ δὲ Ἀχαὰβ μετάμελος γενόμενος καὶ σακκίον ἐνδυσάμενος γυμνοῖς τοῖς ποσὶ διῆγε μὴ τρεφόμενος, ἀνθομολογούμενος τὰ ἡμαρτημένα καὶ τὸν θεὸν ἐξευμενίζων. ὁ δὲ θεὸς πρὸς τὸν προφήτην εἶπεν ὑπερβαλέσθαι τὴν τοῦ γένους τιμωρίαν, ἐπεὶ τοῖς τετολμημένοις μετανοεῖ, τελέσειν δὲ τὴν ἀπειλὴν ἐπὶ τῷ υἱῷ τοῦ Ἀχαάβ. Ioseph. A. I. 8 14.

Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, ὁ κτίσας τὴν Βαβυλῶνα πόλιν, μεγάλην καὶ κινστέρναν καὶ ἐπάνω αὐτῆς κῆπον τεχνησάμενος, καὶ καταφυτεύσας παντοδαπὰ γένη φυτῶν. εἰς τοῦτον ἡ γυνὴ αὐτοῦ περιπολοῦσα καὶ πᾶσαν γῆν ἐκείνην ἐποπτεύουσα κατετέρπετο, ὑπ' οὐδενὸς ὁρωμένη. ὁ δὲ Ναβουχοδονόσορ διαπορευόμενος ἔφη μετὰ ἐπάρσεως πολλῆς καὶ ἀλαζονείας "οὐχ αὕτη ἐστὶ Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ εἰς οἶκον βασιλείας ἐν τῷ κράτει τῆς ἰσχύος μου εἰς τιμὴν τῆς δόξης μου ᾠκοδόμησα;" καὶ ἔτι τοῦ λόγου ἐν τῷ στόματι αὐτοῦ ὄντος φωνὴ ἐκ τοῦ οὐρανοῦ ἐγένετο "σοὶ λέγω, Ναβουχοδονόσορ· ἡ βασιλεία σου παρῆλθεν ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐκδιώξω σε, καὶ μετὰ θηρίων ἡ κατοίκησίς σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε· καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σέ, ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν." καὶ αὐτῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονόσορ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ αἱ τρίχες αὐτοῦ ὡς λέοντος ἐμεγαλύνθησαν καὶ οἱ ὄνυχες ὡς ὀρνέου. μετὰ δὲ ταῦτα πάλιν φησὶν ὁ αὐτὸς περὶ τῆς αὐτοῦ ἀποκαταστάσεως "ἐν τῷ καιρῷ ἐκείνῳ αἱ φρένες μου ἐπεστράφησαν ἐπ' ἐμέ, καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον, καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ' ἐμέ, καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με, καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι. νῦν οὖν ἐγὼ Ναβουχοδονόσορ αἰνῶ καὶ ὑπερυψῶ καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀληθινὰ καὶ αἱ τρίβοι αὐτοῦ κρίσεις, καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι." καὶ Ἡσαΐας δὲ λέγει περὶ αὐτοῦ. Cedren. p. 115.

νάει (Hom. ζ 292) στάζει, ῥέει.

ναέται οἰκήτορες.

Ναζαρηνός ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας.

ναζιραῖος ὁ θεῷ κεχαρισμένος καὶ ἀφιερωμένος, ὁ μοναχός.

Νάζις ἐθνικόν.

Ναζωραῖος ὁ ἀπὸ Ναζαρέτ.

ναί συγκαταθέσεως ἐπίρρημα.

ναΐδες πηγαί, ἢ νύμφαι παρὰ τοῖς νάμασι διατρίβουσαι.

ναίει διατρίβει.

ναιετάουσιν οἰκοῦνται. ναίω ναιέτης ναιετῶ, ὡς κυνηγέτης κυνηγετῶ. ναιετῶ ναιετάω ναιετάουσιν. ἐνεργητικὸν ἀντὶ παθητικοῦ τοῦ οἰκοῦνται.

ναὶ μὰ τό· Καλλίμαχος ἐν Ἑκάλῃ "ναὶ μὰ τὸ ῥικνὸν σῦφαρ ἐμόν," ὅ ἐστι δέρμα. "ναὶ τοῦτο τὸ δένδρεον, αὖον ἐόν περ." οἱ ἀρχαῖοι οὐ προπετῶς κατὰ τῶν θεῶν ὤμνυον, ἀλλὰ κατὰ τῶν προστυγχανόντων, ὡς καὶ Μένανδρος "μαρτύρομαι ναὶ μὰ τὸν Ἀπόλλω τουτονὶ καὶ τὰς θύρας." καὶ Ὅμηρος (*Α* 234) "ναὶ μὰ τόδε σκῆπτρον." καὶ Ἑκάλη εἶπε "ναὶ μὰ τόν" καὶ οὐκέτι ἐπάγει τὸν θεόν. ῥυθμίζει δὲ ὁ λόγος πρὸς εὐσέβειαν.

ναὶ μὰ τόν. "καὶ ναὶ μὰ τόν, εἴγε τοῦ Περσικοῦ τις ἐφάνη, τὸ Ῥωμαϊκὸν ἅπαν διόλωλε" (Theophyl. Sim. 2 9).

ναὶ μὰ τόν· "ἁμαρτάνοντι ἐπέπληττε, καὶ ἀδικοῦντα ἤλεγχε καὶ ἀνέστελλε τοῦ ἀδικεῖν πατρικῇ, ναὶ μὰ τόν, ὁ γενναῖος τῇ παρρησίᾳ."

ναὶ μὴν καὶ ὄντως.

ναὶ ναὶ μὰ μήκωνος χλόην, ὅρκος ἐπὶ χλευασμῷ.

Νάινον.

ναίουσιν οἰκοῦσι.

Ναῒς ἑταίρα τις, ἧς μέμνηται Λυσίας καὶ Ἀριστοφάνης. Harp.

ναίχι ἐπίρρημα συγκαταθέσεως (S OR 684).

νάκην προβάτων δοράν.

νάκος ἔντριχον δέρμα, ἤτοι δορὰ προβάτου. κυρίως δὲ τὸ τῆς αἰγὸς δέρμα, κῶας δὲ τὸ τοῦ προβάτου. Ἰώσηπος (B. I. 3 7 14) "ἕρπειν τὰ πολλὰ κελεύσας τοῖς εἰσιοῦσι, καὶ τὰ νῶτα καλύπτειν νάκεσιν, ὡς εἰ κατίδοι τις αὐτοὺς νύκτωρ, φαντασίαν παρέχοιεν κυνῶν." ἡ δοτικὴ νάκει.

νακοτίλται οἱ τῶν προβάτων κουρεῖς.

Νακώλεια ὄνομα τόπου.

νᾶμα ὕδωρ ποτόν. τόπος κατάρρυτος ναματιαίοις ὕδασι.

Νάννακος παλαιὸς ἀνὴρ πρὸ Δευκαλίωνος. τοῦτόν φασι βασιλέα γενέσθαι πρὸ τοῦ Δευκαλίωνος· ὃς προειδὼς τὸν μέλλοντα κατακλυσμόν, συναγαγὼν πάντας εἰς τὸ ἱερὸν μετὰ δακρύων ἱκέτευσε. καὶ παροιμία "ἀπὸ Νannάκου" ἐπὶ τῶν πάνυ ἀρχαίων.

**Ναννίον.** Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν ἑταιρῶν Αἶγα λέγεσθαί φησι ταύτην τὴν ἑταίραν διὰ τὸ Θαλλὸν τὸν κάπηλον καταφαγεῖν· χαίρουσι γὰρ αἱ αἶγες τῷ θαλλῷ. ἔςι δὲ αὐτῆς μνήμη καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῷ περὶ τῶν ἑταιρῶν τὴν Ναννίον φησὶ Προσκήνιον ἐπονομάζεσθαι διὰ τὸ ἔξωθεν δοκεῖν εὐμορφοτέραν εἶναι. Harp.

νάνος ἐπὶ τῶν μικρῶν παρὰ Νεοκλείδῃ καὶ Ἀριςοτέλει. καὶ Θεόφραςος "ὡς νάνον καὶ αἰδοῖον ἔχοντα μέγα·" οἱ γῦν νάνοι μέγα αἰδοῖον ἔχυσι. νάννοι δὲ λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων, καὶ ναννοφυεῖς. οἱ δὲ κολοβοὶ τῶν ἵππων ἶννοί. sch. A Pac. 790.

Ναξία πόλις. καὶ Ναξία λίθος ἡ Κρητικὴ ἀκόνη· Νάξος γὰρ πόλις Κρήτης.

ναξιουργὴς κάνθαρος. πλοῖα ἦν ὕτω λεγόμενα κάνθαροι, ἐν Νάξῳ γινόμενα, ὡς νῦν σίλφας λέγυσί τινα ἀκατίων εἴδη. Κρατῖνος δὲ λέγει ... ὅτι θαλασσοκρατοῦντές ποτε Νάξιοι ἐχρῶντο αὐτοῖς τοῖς κανθάροις. ἢ οὕτως· τῶν πλοίων τὰς εὑρούσας πόλεις τὰς ἀρχιτεκτονίας ἐποίουν οἱ πρότεροι ἐπωνύμους, οἷον τοὺς νῦν λέμβους ναξιουργεῖς ὠνόμαζον. ἐκ τῦ αὐτῦ δὲ εἶναι καὶ κνιδιουργεῖς, καὶ κέρκουρα ἀπὸ Κερκύρας, καὶ πάρωνα ἀπὸ Πάρου. ἄντικρυς δὲ Μένανδρος ἐν Ναυκλήρῳ κάνθαρον εἶπε πλοῖον εἶναι. ἔςι δὲ καὶ εἶδος ποτηρίου. καὶ ἐν Πειραιεῖ Κανθάρου λιμήν· τρεῖς γὰρ λιμένες εἰσίν, οὗτος ὁ Κανθάρου, καὶ τὸ ἀφροδίσιον, καὶ κύκλῳ πέντε ςοαί, ἀπὸ Κανθάρυ ἥρωος. sch. A Pac. 142.

ναός.

νάπη ὀρεινὸς ὑλώδης τόπος. Ξενοφῶν ⟨Anab. 6 5 12⟩ οὐδετέρως λέγει τὸ νάπος, ὡς τὸ ἔδαφος. "ἐπεὶ οἱ ἡγούμενοι ἐγένοντο ἐπὶ νάπει δυσβάτῳ καὶ μεγάλῳ, ἔςησαν ἀγνοοῦντες εἰ διαβατέον εἴη τὸ νάπος."

νᾶπυ σίνηπι· ⟨A Eq. 636⟩ "κἄβλεψε νᾶπυ, καὶ τὰ μέτωπ' ἀνέσπασεν." ἐπέβλεψε δριμὺ καὶ ὀργίλον (δριμὺ γὰρ τὸ νᾶπυ) καὶ τὰς ὀφρῦς συνέςειλε.

νάρδος μυρεψικὸν ἔλαιον. θηλυκῶς· ⟨AP 6 250⟩ "καὶ ἐς κυανότριχα χαίτην νάρδον ὑπὸ γλαυκῆς κλειομένην ὑάλου."

νάρθηξ· ⟨AP 6 294⟩ "καὶ πανακεῖταν νάρθηκα κροτάφων πλάκτορα νηπιάχων."

νάρκη μυρμηκίασις· Ἀριςοφάνης ⟨Vesp. 733⟩ "οἴμοι, τί πέπονθ'; ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται, καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν."

**Ναρσῆς** ςρατηγὸς Ῥωμαίων, ἔμφρων ἐς τὰ μάλιςα καὶ δραςήριος καὶ δεινὸς ἁρμόσασθαι τῷ παρεμπίπτοντι. καὶ παιδείας μὲν αὐτῷ οὔ τι μάλα μετῆν, οὐδὲ τὰ τῆς εὐγλωττίας ἐπεφρόντιςο· φύσεως δὲ ὅγε δεξιότητι διέπρεπε, καὶ παραςῆσαι οἷός τ' ἦν λόγῳ τὰ βεβουλευμένα, καὶ ταῦτα τομίας γε ὢν καὶ ἐν τοῖς βασιλείοις τρυφερώτατα ἀνατεθραμμένος. ἦν δὲ ἄρα καὶ τὸ σῶμα βραχὺς καὶ ἐν ἰσχνότητι ἐκδεδιῃτημένος· τὸ δὲ ἀνδρεῖον καὶ μεγαλουργὸν εἰς τοσοῦτον ἐκέκτητο ὅσον ἀμέλει καὶ ἀπιςεῖσθαι. ἦν δὲ ἐπὶ Ἰουςινιανοῦ. Agath. 1 16.

Νάρωνος ὄνομα κύριον.

Νασαμῶνος ὄνομα κύριον.

ναςόν πυκνόν, μεςόν, πλῆρες, μὴ ἔχον ὑπόκουφόν τι. διαφέρει τοῦ μανοῦ. ναςὸς δὲ ἀρσενικῶς πλακοῦς, ἢ θερμὸς ἄρτος μετ' ἐλαίου· Ἀριστοφάνης Πλούτῳ ⟨1143⟩ "ἧκεν γὰρ ἄν σοι ναςὸς εὖ πεπεμμένος."

ναυάγιον παρὰ Θουκυδίδῃ οὐδετέρως μέν, ὅταν τι τῆς νηὸς ἀποκλασθῇ, οἷον πηδάλιον ἤ τι τοιοῦτον, ναυαγία δὲ θηλυκῶς πᾶσα ἡ τῆς νηὸς ἀπώλεια. sch. Thuc. 1 50.

ναυαγίων πτωμάτων· ⟨S El. 728⟩ "ἐξ ἑνὸς κακῦ πᾶν ἐπίμπλατο ναυαγίων πεδίον."

ναύαρχος ὁ τῶν νηῶν ἄρχων.

Ναυατιανοὶ αἱρεσιῶται τὰ Ναυάτου φρονοῦντες. καὶ τούτων ἐγένετο ἐπίσκοπος ··· οὐ μὴν ἀλλὰ καὶ ἄλλα πολλὰ χαρίεντα αὐτῷ εἴρηται. cf. v. Σισίννιος b.

Ναυᾶτος. οὗτος πρεσβύτερος ὢν τῆς ἐν Ῥώμῃ ἐκκλησίας διεκρίθη, ἐπειδὴ Κορνήλιος ὁ ἐπίσκοπος τοὺς ἐπιθύσαντας πιςοὺς ἐν τῷ διωγμῷ, ὃν ὁ βασιλεὺς Δέκιος κατὰ τῆς ἐκκλησίας ἐκίνησεν, εἰς κοινωνίαν ἐδέξατο. διὰ ταύτην οὖν τὴν αἰτίαν διακριθεὶς καὶ εἰς ἐπισκοπὴν παρὰ τῶν συμφρονησάντων αὐτῷ ἐπισκόπων προχειρισθεὶς ταῖς πανταχοῦ ἐκκλησίαις ἔγραφε μὴ δέχεσθαι τοὺς ἐπιτεθυκότας εἰς τὰ μυςήρια, ἀλλὰ προτρέπειν μὲν αὐτοὺς εἰς μετάνοιαν, τὴν δὲ συγχώρησιν ἐπιτρέπειν θεῷ τῷ δυναμένῳ καὶ ἐξουσίαν ἔχοντι συγχωρεῖν ἁμαρτήματα. τοιαύτας ἐπιςολὰς κατ' ἐπαρχίας δεχόμενοι πρὸς τὰ οἰκεῖα ἤθη ἐποιοῦντο τῶν δηλωμένων τὰς κρίσεις· ὡς γὰρ ἐκεῖνος ἐδήλου μὴ δεῖν ἀξιοῦσθαι τῶν μυςηρίων τοὺς μετὰ τὸ βάπτισμα εἰς θάνατον ἁμαρτίαν πεποιηκότας, τοῖς μὲν ἐδό-

κει πικρὰ καὶ ἀπηνὴς εἶναι ἡ τοῦ κανόνος ἔκθεσις, οἱ δὲ ὡς δίκαιον αὐτὸν καὶ ὀρθῶντα τὴν πολιτείαν ἐδέχοντο. ἐν τοσούτῳ δὲ τότε κινουμένου, ἐπικαταλαμβάνει Κορνηλίου τοῦ ἐπισκόπου γράμματα τοῖς μετὰ τὸ βάπτισμα ἡμαρτηκόσιν ἐπαγγελλόμενα τὴν συγχώρησιν. οὕτω δὲ ἀμφοτέρων ἐπιστελλόντων τἀναντία, καὶ ἐκ τῶν θείων ὀχυρούντων ἃ ἑκάτερος ἔλεγεν, ἕκαστος κατ᾽ ἔθος εἰς τοῦτο ἔτρεψεν ἐς ὃ καὶ πρότερον μᾶλλον ἐπέκλινεν· ὅσοι γὰρ φιλαμαρτήμονες, δραξάμενοι τῆς τότε δοθείσης συγχωρήσεως καὶ εἰς τὸν ἔπειτα χρόνον ἐπὶ πάσης ἁμαρτίας αὐτῇ συνεχρήσαντο. ἀλλὰ Ναυᾶτος ἐπὶ Οὐάλεντος τοῦ βασιλέως διωγμὸν κινήσαντος κατὰ χριστιανῶν ἐμαρτύρησε. Socrat. 4 28.

*ναυβάτης* ἐπιβάτης, ἢ ναύτης· "πεζοὺς δὲ ἀντὶ ναυβατῶν πορευομένους, καὶ ὁπλιτικῷ προσέχοντας μᾶλλον ἢ ναυτικῷ."

*Ναυῆ* ὄνομα κύριον.

*Ναύκιοι* ἔθνος.

*ναύκληρος.* Ὑπερίδης οὐ μόνον ὡς ἡ συνήθεια κέχρηται τῷ ὀνόματι, ἀλλὰ καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας. Harp.

*ναυκραρία.* Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (11). μήποτε δὲ βέλτιον φέρεται ἐν τοῖς Ἀττικιανοῖς Ναυκρατιτικά, ἵνα ᾖ ἀπὸ Ναυκρατιτικοῦ πλοίου, ἢ Ναυκρατιτῶν ἐμπλεόντων· ἡ γὰρ Ναύκρατις τὸ παλαιὸν ἐμπόριον ἦν τῆς Αἰγύπτου. ἐὰν δὲ ᾖ ναυκραρικά, εἴη ἂν τὰ τῶν ἀρχόντων· ναυκράρους γὰρ τὸ παλαιὸν τοὺς ἄρχοντας ἔλεγον, ὡς Ἡρόδοτος ἐν πέμπτῃ (7) ἱστοριῶν δηλοῖ. Harp.

*Ναύκρατις.*

*ναῦλος* τὸ ναῦλον. ἀρσενικῶς ὁ ναῦλος. sch. A Ran. 271.

*ναύλοχον* εὔδιον, ἐν ᾧ αἱ νῆες λοχῶσιν ἢ ἀναπαύονται. παρὰ δὲ Ἡροδότῳ (7 189) λιμὴν ἢ εὐδία.

*ναυλοχῶ* τὸ τὰς ναῦς ἐνεδρεύω. "ὃ δὲ ναῦς προσέταξεν ἐν τοῖς ἀγκῶσι ναυλοχεῖν λανθάνοντας, ἐπειδὰν δὲ αἴσθωνται ζευγνύειν αὐτὸν τὴν γέφυραν, διαβάλλειν ὡς τάχιστα."

*ναύμαχα* (Hom. O 389) μακρὰ δόρατα, ὥστε ἀπὸ τῶν νεῶν μάχεσθαι.

*ναυμαχησείοντες* πρὸς ναυμαχίαν ἑτοίμως ἔχοντες.

*ναύπλιος* ἡ ἐν θαλάσσῃ πρόοδος.

*ναῦς.* Ἀρριανός "Τραϊανὸς ὁ βασιλεὺς περῶν τὸν ποταμὸν ν´ νῆας εἶχε. τέσσαρες δὲ ἔφερον τὰ σημεῖα τὰ βασιλικά, αἵτινες καὶ τὴν στρατηγίδα κάλοις μακροῖς ἐξηρτημένην ἐφεῖλκον. εἶχε δὲ ἡ ναῦς μῆκος μὲν κατὰ τριήρη μάλιστα, εὖρος δὲ καὶ βάθος καθ᾽ ὁλκάδα, ὅσον μεγίστη Νικομηδὶς ἢ Αἰγυπτία· ἐν ᾗ ἐπεποίητο βασιλεῖ ἀποχρῶντα ἐνδιαιτήματα. αὕτη δὲ τά τε ἀκροστόλια ἔφαινε, καὶ ἐπ᾽ ἄκρῳ τῷ ἱστίῳ τὸ βασιλικὸν ὄνομα, καὶ ὅσοις ἄλλοις βασιλεὺς γεραίρεται, χρυσῷ ἐγκεχαραγμένα. νενέμητο δὲ τρίχα τὸ πᾶν ναυτικόν, ὡς μὴ τῷ ξυνεχεῖ πλόῳ ταράττοιντο."

*ναυσθλώσομαι.* ναυσθλώσασθαι κυρίως ἐστὶ τὸ ναῦν μισθώσασθαι· νῦν δὲ τὸ νεὼς ἐπιβήσομαι. sch. A Pac. 125.

*Ναυσικάα* ὄνομα κύριον.

*ναῦς ἱκετεύει πέτρας.* ἐπὶ τῶν πάνυ ἀναισθήτων ἡ παροιμία.

*Ναυσικράτης* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶ Ναύκληροι, Περσίς.

*ναυσίπορος* (X Anab. 2 2 3) ὑπὸ νηῶν περαιούμενος.

*ναῦς Νικομηδὶς* καὶ στρατηγίς.

*ναῦς παλαιὰ πόντον οὐχὶ πλώσει,* ἐπὶ τῶν εἰς μηδὲν συντελούντων.

*ναύσταθμον* τὸν λιμένα. ἐφράττοντο δὲ καὶ δερματίνοις τροποῖς πρὸς τὸ μὴ βλάπτεσθαι τὰ σανιδώματα. ἢ ὅτι ὁ ναυτικὸς στρατὸς ναύσταθμος καλεῖται. sch. A Ach. 95.

*ναυστολίαν* πλεῖν. καὶ *ναυστολῶ* ῥῆμα.

*Ναύσων Ναυκράτει,* ἐπὶ τῶν ὁμοίως ἀποδιδόντων ἀλλήλοις. ὀνοματοποίησις δὲ τὸ Ναύσων, ὡς τὸ ἀγαθῶν ἀγαθίδες καὶ λευκότεροι Λεύκωνος.

*ναύτης* καὶ ὁ ἐπιβάτης· (AP 6 166) "εἰκόνα τῆς κήλης Διονύσῳ ὧδ᾽ ἀνέθηκε, σωθεὶς ἐκ ναυτῶν τεσσαράκοντα μόνος."

*ναυτιᾶν* τὸ ἐν τῇ νηὶ κυρίως ἐμεῖν.

*ναυτικῶς δανείζειν·* (Diog. L. 7 13) "φασὶ Ζήνωνα ὑπὲρ α´ τάλαντα ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα, καὶ ταῦτα δανείζειν ναυτικῶς."

*ναυτιλία* ὁ πλοῦς.

*ναυτιλλόμενος* πλέων.

*ναυτίλος* ὁ ἰχθῦς, καὶ ὁ ναύτης.

*ναυτοδίκαι* ἄρχοντές εἰσι τοῖς ναυκλήροις δικάζοντες καὶ τοῖς περὶ τὸ ἐμπόριον

ἐργαζομένοις, ὡς καὶ ναυφύλακες ἄρχοντές τινες ἐπὶ τῆς τῶν νεῶν φυλακῆς.

ἀρχή τις ἦν Ἀθήνησιν οἱ ναυτοδίκαι. Κρατερὸς γοῦν φησὶν "ἐὰν δέ τις ἐξ ἀμφοῖν ξένοιν γεγονὼς φρατρίζῃ, διώκειν εἶναι τῷ βουλομένῳ Ἀθηναίων, οἷς δίκαι εἰσί, λαγχάνειν δὲ τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας." Harp.

ναῦφι ἐν ταῖς ναυσί.

ναύφρακτον βλέπεις· Ἀριστοφάνης (Ach. 95) "πρὸς τῶν θεῶν, ἄνθρωπε, ναύφρακτον βλέπεις," ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν οἱ ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες ἐκωπηλάτουν.

ναυφράκτῳ ϛρατῷ (A Eq. 564) τῷ συμπεφραγμένῳ καὶ συντεταγμένῳ· ἐθαλασσοκράτουν γὰρ οἱ Ἀθηναῖοι μάλιϛα ἐπὶ τῇ ἐν Ἀρτεμισίῳ καὶ Σαλαμῖνι ναυμαχίᾳ.

Ναχώρ ὄνομα κύριον.

Νέαιθος ὄνομα ποταμοῦ.

νεαλής κυρίως ὁ νεωϛὶ ἑαλωκὼς ἰχθῦς. λέγεται δὲ καὶ ὁ νεωϛὶ ἁλισθεὶς καὶ ὁ νεωϛὶ ἁλούς. Ἀππιανός "τὸν δὲ δῆμον ἀπὸ τοῦ τείχους ὁρᾶν, καὶ τοῖς πονουμένοις ἑτέρους νεαλεῖς ἐπιπέμπειν ἀεί. οἱ δὲ Κελτοὶ κεκμηκότες ἀκμῆσι συμπλεκόμενοι ἔφευγον ἀτάκτως." καὶ Πολύβιος "τοὺς πολεμίους ἀκεραίους ὄντας καὶ νεαλεῖς."

νεανεία ἡ ἔπαρσις.

Νεάνθης Κυζικηνὸς ῥήτωρ, μαθητὴς Φιλίσκου τοῦ Μιλησίου.

νεανίας τολμηρός, ἢ ὁ νέος.

νεανιεύεται νέου ἔργα ποιεῖ.

νεανιεύματα κομπάσματα, κενὰ τολμήματα.

νεανικόν ἀντὶ τοῦ μέγα καὶ δυνάμενον χορτάσαι νεανίαν· Ἀριϛοφάνης Πλούτῳ (1137) "εἴ μοι πορίσας ἄρτον τίν' εὖ πεπεμμένον δοίης καταφαγεῖν καὶ κρέας νεανικόν."

νεανικῶς ἰσχυρῶς, γενναίως· Ἀριϛοφάνης (Vesp. 1298) "κἄτυπτέ με νεανικῶς, παῖ παῖ καλῶν."

νεανισκεύεται Ἄμφις Ἐρίθοις, Ποσείδιππος Δημόταις, Εὔπολις Σφιγξίν (Αἰξίν). ἰδίως ἐσχημάτικε τὸ νεανισκεύειν ἐν Δήμοις· "γυναῖκ' ἔχοντα μάλα καλήν τε κἀγαθήν. αὕτη νεανισκοῦντος ἐπεθύμησέ μου."

νεαροί νέοι, νήπιοι. καὶ νεαρώτεροι· "παίδων νεαρώτεροι οἱ λέγοντες μὴ ἐφορᾶν τὰ τῇδε τὸ θεῖον."

Νέαρχος. οὗτος ξυνεϛράτευσεν Ἀλεξάνδρῳ, καὶ συγγραφὴν συνεγράψατο ὑπὲρ Ἀλεξάνδρου. ἐψεύσατο δὲ ναύαρχον ἑαυτὸν ἀναγράψας εἶναι, κυβερνήτης ὤν. Arrian. Anab. 6 2.

νεάτη ἐσχάτη. καὶ νέατοι φθόγγοι χορ- a
δῆς μουσικῆς τελευταίας.

νεάτη ἡ ἐσχάτη. καὶ ἡ νήτη χορδὴ λε- b
γομένη ὑπὸ τῶν μουσικῶν πρὸς ἀντιδιαϛολὴν τῆς τε ὑπάτης καὶ τῆς μέσης.

νέα χελιδών, ἐπὶ τῶν ἐξαπατώντων τινάς. Ἀριϛοφάνης Ὄρνισιν (Eq. 420) "ἐξηπάτων γὰρ τὸς μαγείρους, λέγων τοιαυτί· σκέψασθε παῖδες, οὐχ ὁρᾶθ'; ὥρα· νέα χελιδών. οἱ δ' ἔβλεπον, κἀγὼ ἐν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον."

Νέβελ ὄνομα κύριον. καὶ εἶδος μέτρου Ἑβραϊκοῦ.

νεβρίζων Δημοσθένης ὑπὲρ Κτησιφῶντος (259). οἱ μὲν ὡς τοῦ τελοῦντος νεβρίδα ἐνημμένου καὶ τοὺς τελουμένους διαζωννύντος νεβρίσιν, ἐπὶ τῷ νεβροὺς διασπᾶν κατά τινα ἄρρητον λόγον. Harp.

νεβρίς· (AP 6 172) "κισσωτὴν ϛέρνοις a
νεβρίδ' ἀναπτομένη."

νεβρίς ἐλάφου δέρμα· ἐν ἐπιγράμμασιν b
(AP 6 87) "ἄνθετό σοι κορύναν καὶ νεβρίδας ὑμέτερος Πάν."

νεβρός ἐλάφου γέννημα, οἱονεὶ ἐπὶ τὴν βορὰν ἐξιὸν καὶ νεμόμενον. ἐτυμολογεῖται δὲ νεοπόρος τις ὤν. καὶ νεβρεία καρδία· Βάβριος (95 93) "πεινῶσα κερδώ· καρδίην δὲ νεβρείην λάπτει πεσοῦσαν, ἁρπάσασα λαθραίως."

Νεβρώδ ὄνομα κύριον, ἀφ' οὗ οἱ γίγαντες. ὁ αὐτὸς καὶ Νεβρώδης.

Νεεμάν ὄνομα κύριον.

νέεσθαι πορεύεσθαι.

νέηαι πορευθῇς, ἐπανέλθῃς. Hom. A 32.

νέηκες νεωϛὶ ἠκονημένον.

νεήλατα τὰ νεωϛὶ ἀληλεσμένα ἄλφιτα καὶ μέλιτι δεδευμένα, οἷς καὶ ἀϛαφίδες καὶ χλωροὶ ἐρέβινθοι συνεφύροντο· ἃ τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον. ἐκάλουν δέ τινες αὐτὰ καὶ ἀμβροσίαν καὶ μακαρίαν (Harp.). κατ' ἔλλειψιν δὲ προφέρουσιν οἱ Ἀττικοὶ τὸ νεήλατα, μὴ προστιθέντες τὸ ἄλφιτα.

νεήλυδες (Hom. K 434) νεωϛὶ ἐληλυθότες. ἡ εὐθεῖα νέηλυς.

νεηνίας νεανίας.

νεῆνις νεᾶνις.

νείαιρα ⟨Hom. E 539?⟩ τόπος ἔσχατος τῆς γαςρός.

νείατος ἔσχατος. καὶ οὐδετέρως νείατον.

νεικεῖ ψέγει, φιλονεικεῖ.

νεικείῃσι ⟨Hom. Α 579⟩ κακολογήσῃ.

νεικέσαι παρ' Ὁμήρῳ ⟨Η 161⟩ τὸ λοιδορῆσαι, ἀλλ' οὐ τὸ κρῖναι.

νείκη ἡ φιλονεικία.

νεῖκος διαφορὰ μετ' ἐπιπλήξεως· οἱ δὲ μάχη, φιλονεικία, λοιδορία. ⟨Hom. Β 376⟩ "ὅς με μετ' ἀπρήκτυς ἔριδας καὶ νείκεα βάλλει," λέγων κατὰ μέμψιν, καὶ ⟨θ 75⟩ "νεῖκος Ὀδυσσῆος." καὶ μάχη· ⟨Λ 721⟩ "ἐπεὶ ὧς ἄγε νεῖκος Ἀθήνη," ⟨Λ 671⟩ "Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη." νῖκος δὲ ἡ νίκη, διὰ τῦ ι. οὐ μόνον δὲ ἡ φιλονεικία διὰ διφθόγγου, ἀλλὰ καὶ ἡ διὰ χειρῶν μάχη.

Νεῖλος ὁ ποταμός. καὶ οὐδετέρως νειλομέτριον τὸ τοῦ Νείλυ μέτρον. καὶ Νειλῷοις.

νεῖν κολυμβᾶν, καὶ τὸ νήθειν κρόκην. Ἀρριανός ⟨Ind. 24 5⟩ "ὅσοι κουφότατοι καὶ κουφότατα ὡπλισμένοι καὶ τοῦ νεῖν δαημονέςατοι, τύτυς ἐκνήξασθαι κελεύει ἀπὸ συνθήματος." καὶ αὖθις ⟨Iulian. or. 7 p. 206⟩ "ὥσπερ γὰρ οἱ ὄρνιθες ἵπτασθαι, καὶ νεῖν ἰχθύες, αἵ τε ἔλαφοι θεῖν ἐπεὶ πεφύκασιν, οὐδὲν τοῦ διδαχθῆναι προσδέονται."

νειός ἡ νενεασμένη γῆ. καὶ νειοῖο ⟨Hom. Κ 353, Σ 547⟩.

νεῖσθαι κολυμβᾶν ⟨immo πορεύεσθαι⟩.

νεῖται ἀφίξεται, ἐλεύσεται· ⟨AP 7 171⟩ "οὐδ' ἔτι νεῖται, ἵξὸν ἐπ' ἀγρευταῖς χευάμενος καλάμοις."

νείφω τὸ βρέχω, διὰ διφθόγγυ. νιφόμενος δὲ χιονιζόμενος, διὰ τοῦ ι. νήφων δὲ ἐγρηγορῶν, διὰ τοῦ η.

νεκάδες νεκροί. καταχρηςικῶς δὲ καὶ αἱ τῶν ζῴων τάξεις.

νεκτάρεον ἡδύ, καλόν, εὐῶδες, ἐπὶ τῦ "νεκταρέυ ἑανῦ" ⟨Hom. Γ 385⟩. καὶ νέκταρ θεῶν πόμα. καὶ οἶνος οὕτως, ὡς Ἀναξανδρίδης. καὶ τὸ βρῶμα τῶν θεῶν ὁ αὐτός.

νεκταρέου θείου.

νεκρῷ λέγουσα μύθους εἰς οὖς, ἐπὶ τῶν ἀναισθήτων καὶ μὴ ἐπαϊόντων.

νέκυια. ἡ τῶν νεκρῶν ἑορτὴ φρουδίγα παρὰ Πέρσαις, ἑλληνιςὶ νέκυια. Menand. p. 374 Nieb.

νεκυόμαντις ὁ ἐπερωτῶν τὸν νεκρόν.

νεκυοςόλος ὁ τοὺς νεκροὺς διαπερῶν· ⟨AP 7 63⟩ "τὸν κύνα Διογένην νεκυοςόλε δέξαι πορθμεῦ, γυμνώσαντα βίου παντὸς ἐπισκύνιον."

νέκυς ὁ νεκρός.

Νέμεα καὶ Ἴσθμια τόποι ἐν οἷς ἐτελοῦντο ἐπέτειοι ἀγῶνες.

Νεμέας αὐλητρίδος μνημονεύει Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. καὶ Νεμέας σέλινα. Harp.

Νεμέας χαράδρα. τόπος τις οὕτως ἐκαλεῖτο ἐν Πελοποννήσῳ. Harp.

νέμειν καρποῦσθαι, διοικεῖν· "ἀλλὰ παρ' ἐμοὶ γενομένην πατρίδα τε νέμειν ἣν ἐγὼ νέμω, καὶ οἶκον ὃν ἐγὼ κέκτημαι."

νέμειν προςάτην ἀντὶ τῦ ἔχειν προςάτην. τῶν γὰρ μετοίκων ἕκαςος μετὰ προςάτου τῶν ἀςῶν τινὸς τὰ πράγματα αὐτοῦ διῴκει καὶ τὸ μετοίκιον κατετίθει, καὶ τὸ ἔχειν προςάτην καλεῖται νέμειν προςάτην. Ὑπερίδης "ὥςε κελευςέον τοὺς μαρτυρῦντας τὰ τοιαῦτα καὶ τοὺς παρεχομένους μάτην ἀπατᾶν ὑμᾶς, μὴ τυγχάνωσι δικαιότερα λέγοντες· καὶ νόμον ἡμῖν ἀναγκάζετε παρέχεσθαι τὸν κελεύοντα μὴ νέμειν προςάτην."

Νέμειος ὁ ἐν τῇ Νεμέᾳ.

νεμεσᾷ μέμφεται.

νεμεσᾶν τὸ ἐμποδὼν ἵςασθαι τοῖς πραττομένοις κατὰ γνώμην. Artemid. 2 37.

νεμεσηθείς μεμφθείς· "νεμεσηθεὶς δ' ἀλόχῳ κατ' ὄρχησιν βέλει τρωθεὶς λείπει τὸν βίον." Ἰώσηπος "παρεκάλει τὸν θεὸν νεμεσῆσαι μὲν ταῖς τῶν πολεμίων ἐλπίσιν, ἐλεῆσαι δὲ τὸν αὐτοῦ λαόν." καὶ αὖθις ⟨B. I. 6 1 6⟩ "εἰ δὲ νεμεσηθείην τῆς ἐπιβολῆς, ἴσθι με μὴ πταίσαντα παρ' ἐλπίδας."

νεμεσήσομαι φθονήσω, καὶ νεμεσῆσαι μέμψασθαι.

νεμεσητικός ὁ ἐναντίος τῷ φθονερῷ. ὁ μὲν γὰρ φθονερὸς λυπεῖται ἐπὶ ταῖς τῶν καλῶν εὐπραγίαις, ἐπεὶ καὶ ὁ φθόνος τοιῦτον, νεμεσητικὸς δὲ ὁ λυπούμενος ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαις· τοιοῦτον γὰρ ἡ νέμεσις. ὥςε ὁ νεμεσητικὸς οὐ φθονερός. ἔςι δὲ τὸ πρόβλημα ὁρικόν. Alex. Aphrod. in Top. p. 76.

νεμεσητόν μεμπτόν.

νεμέσια Δημοσθένης ἐν τῷ κατὰ Σπυδίου ⟨11⟩. μήποτε ἑορτή τις νεμέσεως, καθ'

ἦν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα. νεμέσια οὖν ἡ ἐπὶ τοῖς νεκροῖς γινομένη πανήγυρις, ἐπεὶ ἡ νέμεσις ἐπὶ τῶν νεκρῶν τέτακται. Harp.

νεμεσίζει μέμφεται.

a νέμεσις ἡ δίκη· Ἀριςοφάνης (immo Eur. Phoen. 189) "ἰὼ νέμεσι, βαρύβρομοί τε βρονταί."

b νέμεσις μέμψις, δίκη, ὕβρις, φθόνος, τύχη. "τὴν τῶν ἀλαζόνων τιμωρὸν συνέντες νέμεσιν, ἥπερ αὐτὸς μετῆλθε σὺν τῇ δίκῃ." καὶ αὖθις "οὐκ ἔλαθε τὴν ἅπασιν ἐναντιουμένην τοῖς ὑπερηφάνοις νέμεσιν, ἀλλ' ἐν ταῖς ἰδίαις ἠναγκάσθη παιδευθῆναι συμφοραῖς." "παρῆν δὲ νέμεσις, ἣ τὰ γαῦρ' ἐποπτεύει" Βάβριός φησιν ἐν μυθικοῖς (43 6). καὶ Αἰλιανός "νεμέσεως ἐφόρου, τρόπους ὑπερόπτας καὶ ὑπερηφάνους κολαζούσης, ἐναργῆ μαρτύρια." καὶ παροιμία "νέμεσις δέ γε πὰρ πόδα βαίνει," παρ' ὅσον μέτεισι ταχέως ἡ δαίμων τοὺς ἡμαρτηκότας. cf. v. ὑπὸ πῆχυν.

Νεμεσίων ὄνομα κύριον· "ὁ δὲ Νεμεσίων ἀνεπτεροῦτο καὶ μετέωρος ἦν ταῖς ἐλπίσι, καὶ ἐδόκει ἑρμαίῳ ἐντετυχηκέναι ἐμοὶ περιτυχών." cf. v. ἑρμαῖον.

νεμεσῶ δοτικῇ.

νεμηθέντων κληρωθέντων· Αἰλιανός "ἀλλὰ καὶ ἐκείνων νεμηθέντων εἰς τὴν ςάσιν."

νεμήσασθαι διαμερίσασθαι.

νεμήσεις ὑποκριτῶν. οἱ ποιηταὶ ἐλάμβανον τρεῖς ὑποκριτὰς κλήρῳ νεμηθέντας, ὑποκρινομένους τὰ δράματα· ὧν ὁ νικήσας εἰς τοὐπιὸν ἄκριτος παραλαμβάνεται. ἔςιν οὖν οἷον διαιρέσεις.

νέμοιτο καρποῖτο.

νέμοντα διοικοῦντα.

νέμος ἐπάκτιον τὸ ἄλσος, τὸ ὄρος τὸ παράλιον. Σοφοκλῆς (Ai. 413) "πάραλά τ' ἄντρα καὶ νέμος ἐπάκτιον." "οἱ δὲ ἀγχοῦ τῆς χηλῆς τοῦ ὄρους ηὐλίζοντο, ὡς τὴν ὕλην καὶ τὸ ἐκ ταύτης νέμος πρόβλημα εἶναι."

νεμῶ νομιῶ· "τὴν δ' ἄρ' οὐκέτι νεμῶ πόλιν" (S OC 879).

νένακτο ἐπεπλήρωτο· Ἰώσηπος (B. I. 1 13) "συνεσπίπτει δὲ τοῖς πολεμίοις εἴσω· καὶ πᾶσα οἰκία ὁπλιτῶν νένακτο, τὰ τέγη δ' ἦν τῶν μαινομένων κατάπλεα."

νενεωλκημένας ναῦς ἔξω οὔσας, εἱλκυσμένας.

νενημένην σεσωρευμένην. Ξενοφῶν (Anab. 5 4 27) "εὕροις γὰρ θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων περυσινῶν." καὶ Ἀριςοφάνης (Nub. 1203) "τί κάθησθ' ἀβέλτεροι, ὄντες λίθοι, ἀριθμός, πρόβατ', ἄλλως ἀμφορεῖς νενησμένοι;" τουτέςιν ἀνόητοι. πρὸς τοὺς θεατάς φησι· διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος. ἀμφορεῖς δὲ ἀντὶ τοῦ ματαίως κέραμοι σεσωρευμένοι· νῆσαι γὰρ τὸ σωρεῦσαι.

νενώμεθα διανενοήμεθα.

νεοαρδέα (Hom. Φ 346) νεωςὶ πεποτισμένα.

νεογιλλόν νεογέννητον.

νεογνόν νεωςὶ γεννηθέντα.

νεοδαμώδης ὁ ἐλεύθερος παρὰ τοῖς Λακεδαιμονίοις. sch. Thuc. 7 58.

νεόδμητον νεοδάμαςον.

νεοεργές προσφάτως εἰργασμένον.

νεοθαλής νεωςὶ βλαςήσασα.

νεοθανής νεωςὶ τεθνεώς.

νεοθῆγι νεωςὶ ἀκονηθέντι· (AP 7 181) "ἡ δὲ σέθεν φθιμένης πολιοὺς νεοθῆγι σιδήρῳ κείρατο γηραλέης ἐκ κεφαλῆς πλοκάμους."

νεοίη (Hom. Ψ 604) θράσος νεότητος, προπέτεια.

νέοις μὲν ἔργα, βουλὰς δὲ γεραιτέροισι.

νεοκαταςάτοις ἀνθρώποις φησὶ Θουκυδίδης (3 93) ἀντὶ τοῦ νεωςὶ κατῳκισμένοις.

Νεοκλείδου κλεπτίςερος. οὗτος κεκωμῴδηται ὡς ῥήτωρ ἦν καὶ τυφλὸς καὶ συκοφάντης καὶ κλέπτης. Ἀριςοφάνης (Plut. 665) "Νεοκλείδης, ὃς ἔςι μὲν τυφλός, κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντισε."

Νεοκλῆς Ἀθηναῖος φιλόσοφος, ἀδελφὸς Ἐπικούρου, ὑπὲρ τῆς ἰδίας αἱρέσεως. ὅτι Νεοκλέους ἐςὶ τὸ λάθε βιώσας.

νεόκμητον νεωςὶ κατεσκευασμένον.

νεολαία νέων συναγωγή, ὁ νέος λαός. "ὑπὲρ τοῦ τὴν νεολαίαν τὴν Ῥωμαίων ἀξιοζήλως τε καὶ ἀμάχῳ θάρσει διαγωνίζεσθαι." καὶ Αἰλιανός "λοιμὸς γὰρ τῇ Ἐφέσῳ πόλει ἐνήκμαζεν οἷος βαρύτατος, προμοίροις δὲ θανάτοις διεφθείροντο ἡ νεολαία, καὶ ἦν ἀγονία, καὶ μέντοι καὶ γυναικῶν καὶ τῆς ἀγέλης τῆς τετράποδος."

νεόλεκτος ὁ νεωςὶ ἠθροισμένος λαός.

νέον Ὅμηρος (I 446) ἡβώοντα οὐ λέγει νέον καθ' ἡλικίαν, ἀλλὰ κατὰ μεσότητα, οἷον νεωςὶ ἡβῶντα.

*νέοντας νηχομένους· "ἐφεῖλκον καὶ ἵππους νέοντας τρεῖς ἅμα καὶ τέτταρας τοῖς ἀγωγεῦσι"* (Polyb. 3 43).

*νεόπλουτος ὁ νεωστὶ πλουτῶν.*

*νεορράντῳ νεαρῷ ἀπὸ τοῦ αἵματος· Σοφοκλῆς* (Ai. 30) *"πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει."*

*νεορρύτοις νεωστὶ ῥέουσι.*

*νέορτον νέον·* (S OC 1507) *"τί δ' ἐστίν, ὦ παῖ Λαΐου, νέορτον αὖ;"*

*νεός ἡ νεωστὶ ἠροτριαμένη γῆ·* (Babr. 33 2) *"καί τις γεωργὸς πυρὸν εἰς νεὸν σπείρας φύλασσεν ἐστώς."*

*νέος ἐστὶ καὶ ὀξύς* (Plato Gorg. p. 463 E) *ἀμαθής ἐστι καὶ προπετής.*

*νεόσμηκτον* (Hom. *N* 342) *νεόθηκτον.*

*νεοσπάδα τὴν νεωστὶ ἀποσπασθεῖσαν· Πισίδης "ταύτην δὲ τὴν φάλαγγα τὴν νεοσπάδα."*

*νεοσσιά ἡ καλιὰ τῶν στρουθίων.*

*νεοσσός ὁ στρουθός.*

*νεοτελής νεωστὶ τετελειωμένος.*

*νεοτευχές* (Theocrit. 1 28) *νεωστὶ κατεσκευασμένον.*

*νεοττεία ἡ ἐκλέπισις.*

*νεόττιον γέννημα· Ἀριστοφάνης* (Av. 768) *"πέρδιξ γενέσθω τοῦ πατρὸς νεόττιον." τοῦ Πισίου ὁ υἱὸς ὅμοιος βούλεται γενέσθαι τῷ πατρί· ἦν δὲ ὁ Πισίας προδότης. καὶ αὖθις* (Cratinus) *"τρία κνώδαλ' ἀναιδῆ, Πισίας Ὀσφύων Διιτρεφής."*

a *νεοττός ἡ τοῦ ᾠοῦ λέκιθος καὶ τὸ πυρρόν. Μένανδρος Ἀνδρίᾳ "καὶ τεττάρων ᾠῶν μετὰ τοῦτο, φιλτάτη, τὸν νεοττόν." Κλέαρχος ἐν τῷ περὶ οἴνων συγγράμματί φησιν "ὃ διαδίδοται ἀρχὴ ὑπὸ τὸν ὑμένα λευκόν· ἐν τούτῳ γὰρ τὸ σπέρμα, καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ· διεψεύσθησαν γὰρ οἱ πρῶτοι τοῦτο φήσαντες, καὶ ἔστι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματος." ὅτι δὲ τὸ ὠχρὸν νεοττὸν ἔλεγον, μαρτυρεῖ καὶ Χρύσιππος ἐν τῷ περὶ χρησμῶν* (cf. Cic. de divin. 2 65). *ὄναρ γάρ τινά φησι θεασάμενον ἐκ τῆς κλίνης αὐτοῦ κρέμασθαι ᾠά, προσαναθέσθαι ὀνειροκρίτῃ· τὸν δὲ εἰπεῖν "ὀρύττων θησαυρὸν εὑρήσεις κατὰ τὸν τόπον ἐκεῖνον." εὑρόντα δὲ σταμνίον ἐν ᾧ ἀργύριον ἦν καὶ χρυσίον, ἐνεγκεῖν τι τοῦ ἀργυρίου τῷ μάντει· τὸν δὲ μάντιν εἰπεῖν "τοῦ δὲ νεοττοῦ οὐδέν μοι δίδως;" καὶ Δίφιλος κέχρηται τῇ λέξει· "ᾠῶν δ' ἐν αὐτῇ διέτρεχεν νεόττια."*

*νεοττός καὶ ὁ νεογνὸς ὄρνις· "οἶδά τοι* b *ἔγωγε καὶ ἐς η' ὅλας ἡμέρας ἀναλωθέντα αὐτῷ κατοικιδίας ὄρνιθος ὡ μέγαν νεοττόν."*

*νεουργόν νεωστὶ εἰργασμένον.*

*νεόφθιτον νεωστὶ τελευτῆσαν, νεωστὶ φθαρέν.*

*Νεόφρων ἢ Νεοφῶν Σικυώνιος τραγικός, οὗ φασιν εἶναι τὴν τοῦ Εὐριπίδου Μήδειαν· ὃς πρῶτος εἰσήγαγε παιδαγωγοὺς καὶ οἰκετῶν βάσανον. ἐδίδαξε δὲ τραγῳδίας ρκ'. συνῆν δὲ τὰ μετὰ ταῦτα Ἀλεξάνδρῳ τῷ Μακεδόνι, καὶ διότι φίλος ἦν Καλλισθένει τῷ φιλοσόφῳ, σὺν ἐκείνῳ καὶ αὐτὸν ἀνεῖλεν αἰκισμοῖς.*

*νεόφυτον τὸ νεωστὶ φυτευθέν.*

*Νεόφυτος ὄνομα κύριον.*

*νεοχάρακτα νεωστὶ κεχαραγμένα· Σοφοκλῆς* (Ai. 6) *"ἴχνη τὰ κείνου νεοχάρακτα." ὁπόταν γὰρ νεωστὶ αἱ ἀποχαράξεις τῶν ζῴων γένωνται, μᾶλλον ἐπακολουθοῦσιν οἱ κυνηγέται, πρὶν ὑπὸ ἀνέμου ἀφανισθῇ ἡ ὀδμή.*

*νεοχμός νέος, νέαν καὶ ἀκαταπόνητον δύναμιν ἔχων. Ἀριστοφάνης* (Ran. 1418) *"τέρας νεοχμόν" ἀντὶ τοῦ παράδοξον, "ἀτοπίας πλέων" ἀντὶ τοῦ θαύματος.*

*νεοχμοῦν καινοτομεῖν, νεώτερα ἐργάζεσθαι· "ὃ δὲ φυλάσσειν τῶν καθεστώτων οὐδὲν ἠξίου, πάντα δὲ νεοχμοῦν ἐσαεὶ ἤθελε"* (Procop. Arc. 6).

*νεοχμώσαντες νεωστὶ κινήσαντες. Ἡρόδοτος* (5 19).

*νεοχμώσειν νεωτερισθῆναι, καινόν τι ἐργάσασθαι· "ἀσχόλους τε γὰρ αὐτοὺς ὄντας διὰ τὸν πόλεμον μηδὲν νεοχμώσειν."*

*νέποδες οἱ ἰχθύες, παρὰ τὸ νε στερητικὸν καὶ τὸ πούς· ἄποδες γάρ εἰσιν. ἐν ἐπιγράμμασι* (AP 6 11) *"πτηνὰ καὶ ἀγροτέρων κέρδεα καὶ νεπόδων."*

*νέποδες νηξίποδες. τὸ γὰρ ἄποδες ψεῦδος· ἔχουσι γὰρ πόδας αἱ φῶκαι. "ἀμφὶ δέ μιν φῶκαι νέποδες" Ὅμηρος* (δ 404). *Νέπως δὲ Νέπωτος ἐθνικόν.*

*Νέρβας βασιλεὺς τῶν Ῥωμαίων. οὗτος καὶ τὸν εὐαγγελιστὴν Ἰωάννην ἐκ τῆς ἐξορίας Πάτμου ἀνακαλέσας ἤγαγεν ἐν Ἐφέσῳ, καθ' ὃν καιρὸν καὶ τὸ τῶν Μανιχαίων ἀνεφάνη δόγμα, αὐτοῦ Μάνεντος φανερῶς ἐξηγουμένου.*

*Νεργόβριγες· Ἀππιανός* (cf. v. μετριοπαθεῖν) *"Νεργόβριγες δ' αὐτοῦ περὶ τῆς μετριοπαθείας πυθόμενοι ἐθαύμαζον."*

νέρτερος κατώτερος.

Νέρων βασιλεὺς Ῥωμαίων. οὗτος κραταιουμένης αὐτῷ τῆς βασιλείας ἐς ἀνοσίους πράξεις ἐξώκειλε, καὶ ἀλλότρια τῆς βασιλείας ἐπετήδευσε πράγματα, κιθαρίζων καὶ τραγῳδῶν καὶ ὀρχούμενος ἐπὶ τῶν θεάτρων· καὶ πρὸς πάσαις αὐτοῦ ταῖς ἀθεμιτουργίαις καὶ τὸ τῆς θεομαχίας μύσος προσέθηκε, διώκτης πρῶτος γενόμενος τοῦ θείου λόγου. μετὰ δὲ ταῦτα ἀνεῖλε καὶ τὴν μητέρα καὶ ἑαυτόν.

ὅτι Νέρων ἔτι νέος ὢν ἐσχόλαζε φιλοσόφοις καὶ τὰ περὶ τοῦ Χριστοῦ κατεμάνθανεν· ἔτι γὰρ ἐνόμιζεν αὐτὸν τοῖς ἀνθρώποις συναναστρέφεσθαι. καὶ μαθὼν ὅτι ὑπὸ τῶν Ἰουδαίων ἐσταυρώθη, ἠγανάκτησε καὶ προσέταξεν ἐλθεῖν τοὺς ἱερεῖς Ἄνναν καὶ Καϊάφαν καὶ αὐτὸν Πιλᾶτον τὸν ἄρχοντα τότε γενόμενον σιδηροδεσμίους, καὶ καθίσας ἐπὶ τῆς συγκλήτου τὰ περὶ αὐτοῦ πεπραγμένα κατεμάνθανεν. οἱ οὖν περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἔλεγον ὅτι ἡμεῖς τοῖς νόμοις αὐτὸν παρεδώκαμεν καὶ εἰς καθοσίωσιν οὐχ ἡμάρτομεν· ὁ γὰρ ἄρχων ἐξουσίαν ἔχων, ὅσα ἠβουλήθη, ἔπραξεν. ἀγανακτήσας οὖν ὁ Νέρων Πιλᾶτον ἐν τῷ δεσμωτηρίῳ ἐνέβαλε, τοὺς δὲ περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἀπέλυσεν. ἤκμαζε δὲ τότε καὶ Σίμων ὁ μάγος, καὶ διαλεγομένων Πέτρου καὶ Σίμωνος παρουσίᾳ Νέρωνος ἤχθη Πιλᾶτος ἀπὸ τοῦ δεσμωτηρίου, καὶ παρισταμένων τῶν τριῶν τῷ Νέρωνι ἐρωτᾷ τὸν Σίμωνα "σὺ εἶ ὁ Χριστός;" ὃ δὲ λέγει ναί. εἶτα ἐρωτᾷ τὸν Πέτρον "σὺ εἶ ὁ Χριστός;" ὃ δὲ λέγει "οὔ· ἐμοῦ γὰρ παρισταμένου εἰς τὸν οὐρανὸν ἀνελήφθη." ἠρώτησε δὲ καὶ τὸν Πιλᾶτον "ποῖός ἐστιν ἐκ τούτων ὁ λεγόμενος Χριστός;" καὶ εἶπεν "οὐδὲ εἷς· ὁ μὲν γὰρ Πέτρος μαθητὴς αὐτοῦ γέγονε, καὶ εἰσηνέχθη παρ' ἐμοὶ ὡς μαθητὴς αὐτοῦ, καὶ ἠρνήσατο αὐτὸν λέγων 'οὐκ οἶδα τὸν ἄνθρωπον,' καὶ ἀπέλυσα αὐτόν. οὗτος δὲ ὁ Σίμων οὐδαμῶς ἔγνωσταί μοι, οὐδεμίαν δὲ ἔχει ὁμοιότητα πρὸς ἐκεῖνον· ἔστι γὰρ οὗτος καὶ Αἰγύπτιος καὶ ἐμπληθὴς καὶ κατάκομος καὶ μέλας, παντελῶς τῆς ἐκείνου μορφῆς ἀλλότριος." ἀγανακτήσας οὖν ὁ βασιλεὺς κατὰ μὲν τοῦ Σίμωνος ὡς ψευσαμένου καὶ εἰπόντος ἑαυτὸν Χριστόν, κατὰ δὲ τοῦ Πέτρου ὡς ἀρνησαμένου τὸν διδάσκαλον, ἐξέβαλεν αὐτοὺς ἀπὸ τοῦ συνεδρίου. τὸν δὲ Πιλᾶτον τῆς κεφαλῆς ἀπέτεμεν ὡς τηλικοῦτον ἄνθρωπον ἀνελεῖν τολμήσαντα δίχα βασιλικῆς προστάξεως. Io. Antioch. exc. Peir. p. 809. Malala p. 328.

Νέσσος ὁ Κένταυρος, περὶ οὗ φησὶ Σοφοκλῆς (Trach. 590). Δηιάνειρά φησιν "οὕτως ἔχει γ' ἡ πίστις, ὡς τὸ μὲν δοκεῖν ἔνεστι, πείρᾳ δ' οὐ προσωμίλησά πω. ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς οὐδ' εἰ δοκεῖς ἔχειν, ἔχοις ἂν γνῶμα μὴ πειρωμένη."

Νεστορέη (Hom. Β 54) τῇ τοῦ Νέστορος. καὶ Νεστόρειος οἶκος ὁ τοῦ Νέστορος.

Νεστορίδης πατρωνυμικόν.

Νεστόριος. μετὰ Μάνεντα καὶ Παῦλον καὶ Ἀπολινάριον καὶ Θεόδωρον ἐφάνη Νεστόριος, ἀπὸ Γερμανικείας τῆς Συρίας, τοῦ θρόνου Κωνσταντινουπόλεως δραξάμενος, ὁμοίως τῇ φωνῇ τῶν ἐν Χριστῷ δύο φύσεων κακοφρόνως ἀποχρησάμενος Παύλῳ καὶ Θεοδώρῳ τοῖς ἑαυτοῦ προγόνοις· υἱὸς μὲν γὰρ ἦν τοῦ Κίλικος, ἀπόγονος δὲ τοῦ Σαμοσατέως. καὶ διὰ τοῦτο πρὸς τὴν ἁγίαν παρθένον καὶ θεοτόκον ἄσπονδον ἤρατο πόλεμον, καὶ τρίτος προστάτης γεγονὼς τῆς Ἰουδαϊκῆς ταύτης αἱρέσεως ἄλλον εἶναι παρ' ἑαυτῷ τὸν Χριστὸν καὶ ἄλλον τὸν θεὸν λόγον κατὰ τὴν πατρικὴν αὐτοῦ πλάνην ἐδογμάτισε. μετὰ δὲ τοῦτον Εὐτυχής. οὗτος δὲ ὁ Νεστόριος φυσικῶς εὔλαλος ὢν πεπαιδεῦσθαι μὲν ἐνομίζετο, τῇ δὲ ἀληθείᾳ ἀνάγωγος ἦν, καὶ τὰς τῶν παλαιῶν ἑρμηνευτῶν βίβλους ἀπηξίου μανθάνειν· τυφούμενος γὰρ ὑπὸ τῆς εὐγλωττίας οὐκ ἀκριβῶς προσεῖχε τοῖς παλαιοῖς, ἀλλὰ πάντων κρείττονα ἐνόμιζεν ἑαυτόν. Theodorus presb. de incarn.

Νέστωρ Λαρανδεὺς ἐκ Λυκίας, ἐποποιός, πατὴρ Πεισάνδρου τοῦ ποιητοῦ, γεγονὼς ἐπὶ Σεβήρου τοῦ βασιλέως, Ἰλιάδα λειπογράμματον ἤτοι ἀστοιχείωτον (ὁμοίως δὲ αὐτῷ ὁ Τρυφιόδωρος ἔγραψεν Ὀδύσσειαν)· ἔστι γὰρ ἐν τῇ πρώτῃ μὴ εὑρίσκεσθαι α', καὶ κατὰ ῥαψῳδίαν οὕτως τὸ ἑκάστης ἐκλιμπάνει στοιχεῖον. μεταμορφώσεις, ὥσπερ καὶ Παρθένιος ὁ Νικαεύς, καὶ ἄλλα.

νευθὰν εἶδος μέτρου.

νεῦμαι ἀντὶ τοῦ ἐλεύσομαι· Ὅμηρος (Σ 136) "ἠῶθεν γὰρ νεῦμαι." ἐνεστῶτός ἐστι νέομαι νεῦμαι. βούλεται δὲ εἰπεῖν ἐλεύσομαι.

νεῦρα μάχης ὁ πλοῦτος· Πισίδης (Heracl. 1 163) "βλέπων μάλιστα καὶ τὰ νεῦρα τῆς μάχης, τὸν πλοῦτον ἐκρεύσαντα πρὸς τοὺς βαρβάρους."

νευρῆφιν (Hom. Θ 300) ἐκ τῆς νευρᾶς τοῦ τόξου.

νευσούμενοι κολυμβήσοντες· Ξενοφῶν (Anab. 4 3 12) "ἐκδύντες, ἔχοντες τὰ ἐγχειρίδια, γυμνοὶ ὡς νευσούμενοι ἐπειρώμεθα διαβαίνειν."

νεφέλαι ἡ καπνώδης ἐκ γῆς ἀναθυμίασις. καὶ εἶδος δικτύου θηρευτικοῦ. sch. A Av. 194.

νεφέλας ξαίνεις, ἐπὶ τῶν μάτην πονούντων. cf. vv. πλίνθος et φακαί.

Νεφελοκοκκυγία πόλις παρὰ Ἀριστοφάνει (Av. 820) πεπλασμένη εἰς τὸν ἀέρα ἔσα.

Νεφθαλείμ ὄνομα πόλεως.

Νεφθαλῖται ἔθνος ἐπικρατῆσαν τῆς ἴω παρὰ Ἰωσήπῳ.

νεφροί οἱ λογισμοί. ἐπειδὴ τὰς ὑπογαςρίους ὀρέξεις οἱ νεφροὶ διεγείρουσιν, ἐντεῦθεν κινοῦνται τῆς ἐπιθυμίας οἱ λογισμοί. Theodoret. in Ps. 7 11.

νέω τὸ κολυμβῶ, καὶ τὸ πορεύομαι.

νεωκορήσει (Plato RP 9 p. 574 D) ἐνίοτε ἀντὶ τοῦ ἱεροσυλήσει· κορεῖν γὰρ λέγουσι τὸ καλλύνειν, τὸ σαροῦν καὶ ἐκκαλλύνειν, τό τε ἐκκορηθείης ἀντὶ τοῦ ἐκκαλλυνθείης.

νεωκόρος ὁ τὸν ναὸν κοσμῶν καὶ εὐτρεπίζων.

νεωλαία ὁ τοῦ νεὼ λαός.

νεωλκήσας ἔξω τὴν ναῦν ἑλκύσας.

Νέων Νέωνος ὄνομα κύριον. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (295) περὶ τῆς πρὸς Φίλιππον τούτου φιλίας φησίν. Harp.

νεώνητον τὸν νεωςὶ ἠγορασμένον, ἐπεὶ μὴ ἐκ γένους ἦν Ἀθηναῖος ὁ Κλέων, ἀλλὰ νεωςὶ προσεληλυθὼς τῇ πολιτείᾳ. ἐμφαίνει δὲ διὰ τέτων ὅτι καὶ τῶν Ἀθηναίων καθάπτεται, ὅτι δέον πιςεύειν αὐτοὺς τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐεργετηκόσιν, οἱ δὲ μᾶλλον ἐτίμων τὸν Κλέωνα. πεφύκαμεν γὰρ καὶ τῶν οἰκετῶν μᾶλλον πιςεύειν τοῖς οἴκοι γεννηθεῖσι καὶ συντραφεῖσιν ἢ οἷς ἂν ἐπικτησώμεθα πριάμενοι. sch. A Eq. 2.

νεωρῆ νεωςὶ ἠρτημένον· ἢ ἐκ νέα τινὸς καὶ ὥραν ἔχοντος νέαν. "ὁρῶ νεωρῆ βόςρυχον τετμημένον" (S El. 901), καὶ Σοφοκλῆς (OC 730) "φόβον νεωρῆ τῆς ἐμῆς ἐπεισόδε."

νεώρια ὁ ναύςαθμος τῶν νεῶν. (A Ach. 918) "ἐμπρήσειεν ἂν τὸ νεώριον. ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος, ἅψας ἂν ἐσπέμψειεν ἐς τὸ νεώριον."

νεώρια καὶ νεώσοικοι. μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας εἰς ὃν ἀνέλκονται αἱ τριήρεις, καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνουσι Λυκοῦργός τε καὶ Ἀνδοκίδης. Harp.

νεώς ἀττικῶς ὁ ναός. θηλυκῶς δὲ ἐπὶ γενικῆς νεὼς τοῦ πλοίου.

νεώσατε ἀροτριάσατε.

Νεῶσι Δημοσθένης κατ' Αἰσχίνε (148). πόλις ἐςὶν ἐν τῇ Φωκίδι. καὶ Ἡρόδοτος μὲν ἐν η' (32) Νεῶνα ὀνομάζει, Ἀνδροτίων δὲ ἐν ς' Ἀτθίδος Νεῶνας. Harp.

νεώσοικοι οἰκήματα παρὰ τῇ θαλάσσῃ οἰκοδομούμενα εἰς ὑποδοχὴν νεῶν, ὅτε μὴ θαλαττεύοιεν. ὅτι Πολυκράτης ὁ Σαμίων τύραννος τῶν ὑφ' ἑωυτῷ ὄντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ἐς νεωσοίκους συνειλήσας εἶχεν ἑτοίμους, ἢν ἄρα προδιδῶσιν οὗτοι πρὸς τοὺς κατιόντας, ὑποπρῆσαι αὐτοῖσι τοῖσι νεωσοίκοισι (Herodot. 3 45).

νεωςί προσφάτως.

νέωτα τὸ ἐπιὸν ἔτος· ἤτοι εἰς τὸ μέλλον. (Philemo) "αἰεὶ γεωργὸς ἐς νέωτα πλέσιος." ἢ ἐκ τῦ νέος, ἐξ οὗ τὸ νεωςί, νέωςα, ὡς δή δῆτα, ἐπεί ἔπειτα, καὶ ἐκβολῇ τοῦ σ νέωτα. τὸ ἐκ νέου καὶ ἔναγχος.

νεώτερα· "τοῦτον δὲ ἀνεῖλον ὡς νεώτερα κατὰ Ῥωμαίων πράττοντα."

νεωτερίζει καινὰ πράττει.

νεωτερίζειν. Θουκυδίδης (7 87) "τῆς ἡμέρας τὸ πνῖγος ἐλύπει· νύκτες δὲ μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἀσθένειαν ἐνεωτέριζον." "ὁ δὲ βάρβαρος οὐδὲ ἐπὶ τὴν νεωτερίζουσαν τὰ πράγματα τύχην ἔσχεν ἀνενεγκεῖν τὴν αἰτίαν, ὡς ἂν ἔννομόν τινα καὶ ὕπαιθρον ἀγωνισάμενος μάχην."

νεωτερισμός.

νεώτερον καινόν· "ὃ δὲ ἔλεγε δεδιέναι, ἂν ἀδόκητόν τι καὶ νεώτερον κακὸν ἀπαντήσῃ."

νεωτεροποιός ἀντάρτης, τύραννος, ἐπιθέτης.

νεώτερος τὸ συγκριτικὸν ἀντὶ τῦ ἁπλῦ, ἀντὶ τοῦ νέος.

νῆα ναῦν, πλοῖον.

νηγάτεον λεπτόν, καινόν, ἁπαλόν, λευκόν, εὐφυές.

νήγρετος ἀνέγρετος.

νὴ Δία ναὶ μὰ τὸν Δία.

νήδυμος ὁ ἡδὺς καὶ γλυκὺς ὕπνος.

*νηδύς* γαςήρ, μήτρα.

*νήεον ὕλην* (Hom. Ψ 139) ἐσώρευον ὕλην. καὶ *νηήσας* σωρεύσας.

*νῆες* τὰ πλοῖα.

*νήια* (Hom. ι 498) τὰ ναυπηγήσιμα ξύλα. καὶ Νήιον (α 486) ὄρος Ἰθάκης, τὸ καὶ Ὑπονήιον.

*νήιδα* (Hom. Η 198) ἄπειρον, ἀμαθῆ, ἀσθενῆ.

*νῆις* οὐκ εἰδώς, ἄπειρος. τὴν δὲ νηίδα νύμφην παρὰ τὰ νάματα ἔνιοι, καὶ τὸν Νεῖλον. καὶ ἐν Σάμῳ δὲ θηρία γενέσθαι, ὧν φθεγγομένων ῥήγνυσθαι τὴν γῆν· ἐκαλεῖντο δὲ νήια, ὡς Εὐταίων. cf. Aelian. N. A. 17 28.

*νηίτης* ὁ διὰ τῶν νηῶν· "οὐ μόνον νηίτῃ ςόλῳ ἀλλὰ καὶ διὰ γῆς κατὰ Βανδίλων ἐςράτευσε." καὶ Αἰλιανὸς περὶ Λακεδαιμονίων "νηίταις κινδύνοις μὴ πάνυ συντραφέντες."

*νηκερδής* ἀνωφελής, ἀσύνετος.

*νηκούςησε* (Hom. Υ 14) παρήκουσε.

*νηκτά* ἔνυδρα, κολυμβητά.

*Νηλεύς* ὄνομα κύριον.

*νηλεῶς* ἀπανθρώπως, σκληρῶς. λέγεται καὶ *νηλειῶς*.

*νηλής* (Hom. Ι 632) ὁ ἀνηλεής.

*νηλίπους* ὁ ἀνυπόδητος· (S OC 348) "γεροντανωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη."

*νηλιτής* ὁ ἁμαρτωλός.

*νῆμα* καὶ *νήματα*.

*νημερτές* ἀληθές.

*νηνεμία* (Hom. ε 391) ἀνέμων ἀπουσία.

*νήνεμος* ἄνεμον οὐκ ἔχων.

*νηοφυλακεῖον*.

*νηπενθές* ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων" (Hom. δ 121) ἀντὶ τοῦ ἀπενθές.

*νήπια* τὰ βρέφη.

*νηπιέη* ἀφροσύνη. Hom. Ι 491.

*νήπιος* ἄφρων, ἀνόητος. (Polyb. 24 8) "Φίλιππος ὁ Μακεδὼν πολλοὺς ἀνελὼν ὕςερον ἐφθέγξατο τοῦτον τὸν ςίχον· νήπιος, ὃς πατέρα κτείνας υἱοὺς καταλείπει." (Hes. O. 40) "νήπιοι, οὐδὲ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός·" ἔσθ' ὅτε γὰρ πλειόνων ἐπιθυμῶν τις ἀποβάλλει καὶ ἃ ἔχει.

*νηποινί* ἄνευ τιμωρίας καὶ ποινῆς· "αἰτιώτατος γεγονὼς τῆς ςάσεως οὐ φεύξεται νηποινὶ τὸ ἐπίκλημα." καὶ αὖθις "οὐ γὰρ νηποινί γε πείσεσθαι ἃ πρὸς αὐτῶν ἐπεπόνθει."

*νηπύτιος* νήπιος, ποιητικῶς· Ἀριςοφάνης Νεφέλαις (868) "νηπύτιος γάρ ἐςι καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶνδε."

*Νηρεύς* ὁ θαλάσσιος θεός.

*Νηρῆδας* τὰς νύμφας, κατὰ συγκοπὴν τοῦ ι.

*Νηρηίδες* νύμφαι ν' τὸν ἀριθμόν εἰσι. Σοφοκλῆς (OC 718) "τῶν ἑκατομπόδων Νηρῄδων ἀκόλουθος."

*Νηρηίνη*.

*Νηρῆς* κατὰ συναίρεσιν ἐκ τοῦ Νηρηίς, ὥσπερ καὶ τὸ Χρυσηὶς Χρυσῆς καὶ Βρισηὶς Βρισῆς.

*νηρίθμους* ἀναριθμήτους, ἀπείρους.

*Νηρίον*.

*νηρίτης* θαλάσσιος κόχλος.

*Νήριτον* ὄρος.

*νῆσαι* σωρεῦσαι, καὶ *νήσουσι* σωρεύσουσι.

*Νησίον*. καὶ *νησιώτης* ὁ ἀπὸ νήσου. καὶ *νησύδριον* νησίον μικρόν.

*Νῆσις* Νήσιδος ὄνομα πόλεως, καὶ ὄνομα θεᾶς.

*νῆσος*.

*νῆσσα* τὸ ὄρνεον. καὶ *νῆττα*.

*Νῆσσα* ὄνομα κύριον.

*νηςεία* ἐκ τοῦ νηςεύω. καὶ *νήςιμος* ἡ τῆς νηςείας ἡμέρα.

*νῆςις* ὁ ἄσιτος· καὶ τὸ μεταξὺ τῆς κοιλίας καὶ τοῦ ςομάχου ἔντερον, παρὰ τὸ νή ςερητικὸν μόριον καὶ τὸ ἔδειν, ἢ παρὰ τὸ νή ςερητικὸν καὶ τὸ σῖτος. "νῆςίς θ', ἢ δακρύοις γε πικροῖς νωμᾷ βρότειον γένος" (Empedocles ap. Sext. Empir. p. 462) τὸ ὕδωρ λέγων.

*νήτη* χορδὴ μουσική, ὀξὺν φθόγγον ἀποτελοῦσα.

*νὴ τήν* μὰ τήν.

*νὴ τὴν ἱερὰν κεφαλήν*. τὸ νή κατωμοτικόν ἐςιν ἐπίρρημα, τουτέςι μεθ' ὅρκου βεβαιωτικόν, ὥσπερ τὸ μά ἀπωμοτικόν, μεθ' ὅρκου ἀρνητικόν. νὴ τόν καὶ ναὶ μὰ τόν· κατωμοτικὰ ταῦτα, ἀπωμοτικὰ δὲ μὰ τὸν Δί', οὐ μὰ τόν. ὥςε ἐσχάτη ἀκυρολογία τὸ λέγειν "μὰ τὸν Δία ποίησον."

*νῆτον* δυικὸν ῥῆμα.

*νῆτρον* τὸ κλωςήριον.

*νηῦς* ἡ ναῦς.

*νηφαλέος* ὁ σώφρων.

*νηφάλια ξύλα* τὰ μὴ ἀμπέλινα μήτε σύκινα μήτε μύρσινα· ἐκεῖνα γὰρ οἰνόσπονδα λέγεται.

*νηφάλιοι θυσίαι* ἐν αἷς οἶνος οὐ σπένδεται, ἀλλὰ ὕδωρ μελίκρατον.

*νηφάλιος θυσία* παρὰ Ἀθηναίοις ἐτελεῖτο μνημοσύνῃ, ἠοῖ, ἡλίῳ, σελήνῃ, νύμφαις, Ἀφροδίτῃ οὐρανίᾳ, ὥς φησι Πολέμων. καὶ ξύλα δὲ νηφάλια τὰ μὴ ἀμπέλινα μήτε σύκινα, ἀλλὰ τὰ ἀπὸ τῶν θύμων. καὶ πρώτη ἐϛὶν αὕτη ὕλη πρὸς τὰς ἐμπύρους θυσίας· παρ' ὃ καὶ τοὔνομα λαβεῖν τὸν θύμον, ὡς παρὰ τὴν θυμίασιν καὶ τὴν θυὴν πεποιημένης τῆς φωνῆς. εἰσὶ δέ τινες τὸ παράπαν ἄσπονδοι θυσίαι, κατὰ τύχην εἰς ἔθος παρελθοῦσαι. Σοφοκλῆς ⟨OC 98⟩ "οὐ γάρ ἂν ποτε πρώταισιν ὑμῖν ἀντέκυρσ' ὁδοιπορῶν, νήφων ἀοίνοις," πρὸς τὰς Εὐμενίδας λέγων.

*νηφαλισμός* ἡ προσοχή.

*νῆφε* γρηγόρει. ⟨Polyb. 18 23⟩ "ἀλλ' ἔϛιν αἴτιον τὸ μὴ πρόχειρον ὑπάρχειν τὸ παρ' Ἐπιχάρμῳ καλῶς εἰρημένον νῆφε καὶ μέμνησ' ἀπιϛεῖν· ἄρθρα ταῦτα τῶν φρενῶν."

*νήχεται* κολυμβᾷ.

*νήχυτος* ἔρως. cf. v. εὐρώς.

*νία* τὰ σχοινία ⟨cf. vv. ἄκιτιν et ἅλα⟩.

*νίβα* χιόνα. καλεῖται δὲ οὕτως καὶ κρήνη ἐν Θρᾴκῃ.

*Νίγερ* ὄνομα κύριον.

*νίγλαροι* τὰ τερετίσματα καὶ περίεργα κρούματα. κροῦμα δέ ἐϛι καὶ μέλος μουσικὸν παρακελευϛικὸν ὁ νίγλαρος. sch. A Ach. 559.

*Νιγρῖνος* ὄνομα κύριον.

*νίδες* αἰδοῖα, ἢ ὀρχίδια παιδίων. Σικελοί.

*νίζε* νίπτε.

*νίζει* ῥύπτει, πλύνει, νίπτει, κλύζει, ἀποσμήχει.

*Νικαγόρας* Μνησαίου ῥήτορος, Ἀθηναῖος σοφιϛής. γέγονε δὲ κατα Φίλιππον τὸν Καίσαρα. βίους ἐλλογίμων, περὶ Κλεοπάτρας τῆς ἐν Τρωάδι, πρεσβευτικὸν πρὸς Φίλιππον τὸν Ῥωμαίων βασιλέα.

a *Νίκαια* ὄνομα πόλεως Βιθυνίας, ἐν ᾗ παραρρεῖ καὶ ποταμὸς Φάρνατις λεγόμενος.

b *Νίκαια* Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας ⟨132⟩. ἔϛι δὲ πόλις Λοκρίδος ἐπιθαλαττίδιος.

*νικαίην* νίκην.

*Νίκανδρος* Ξενοφάνους Κολοφώνιος, κατὰ δέ τινας Αἰτωλός, ἅμα γραμματικός τε καὶ ποιητὴς καὶ ἰατρός, γεγονὼς κατὰ τὸν νέον Ἄτταλον ἤγουν τὸν τελευταῖον, τὸν γαλατονίκην, ὃν Ῥωμαῖοι κατέλυσαν. ἔγραψε θηριακά, ἀλεξιφάρμακα, γεωργικά, ἑτεροιουμένων βιβλία ε', ἰάσεων συναγωγήν, προγνωϛικὰ δι' ἐπῶν (μεταπέφραϛαι δὲ ἐκ τῶν Ἱπποκράτους προγνωϛικῶν), περὶ χρηϛηρίων πάντων βιβλία γ', καὶ ἄλλα πλεῖϛα ἐπικῶς.

*Νικάνωρ* ὁ Ἑρμείου Ἀλεξανδρεὺς γραμματικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ Καίσαρος, ὅτε καὶ Ἕρμιππος ὁ Βηρύτιος, περὶ ϛιγμῆς τῆς παρ' Ὁμήρῳ καὶ τῆς ἐξ αὐτῶν διαφορᾶς ἐν τῇ διανοίᾳ, περὶ ϛιγμῆς τῆς καθόλου βιβλία ϛ', ἐπιτομὴν τούτων βιβλίον α', περὶ ϛιγμῆς τῆς παρὰ Καλλιμάχῳ, κωμῳδούμενα, περὶ ναυϛάθμου, περὶ τοῦ ὦναξ, καὶ ἄλλα. a

*Νικάνωρ*. τρεῖς γεγόνασι Νικάνορες, ὃ μὲν υἱὸς Βαλάκρου, ἕτερος δὲ Παρμενίωνος, ἄλλος δὲ Σταγειρίτης τὸ γένος, οὗ καὶ Ὑπερίδης μνημονεύει ἐν τῷ κατὰ Δημοσθένους. Harp. b

*Νικασία* νησίδιον πλησίον Νάξου.

*νικᾷ τὸν ὀνηλάτην*, πρὸς τὸν μὴ ἀκούοντα νουθετοῦντος, ἀλλ' ἑαυτὸν προϊέμενον εἰς ἀπώλειαν.

*νίκη* ἡ τοῦ πολέμου.

*νίκη Ἀθηνᾶ* Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ὅτι δὲ νίκης Ἀθηνᾶς ξόανον ἄπτερον, ἔχον ἐν μὲν τῇ δεξιᾷ ῥοιὰν ἐν δὲ τῇ εὐωνύμῳ κράνος, ἐτιμᾶτο παρ' Ἀθηναίοις, δεδήλωκεν Ἡλιόδωρος ὁ περιηγητὴς ἐν πρώτῳ περὶ ἀκροπόλεως. Harp.

*Νικήτας* καὶ *Νικήτης* ὀνόματα κύρια.

*Νικίας* Ἀθηναίων ϛρατηγός. οὗτος Κύθηρα τὴν νῆσον εἷλε, καὶ περὶ τῆς Σπάρτης εἰς φόβον κατέϛησε Λακεδαιμονίους, ὡς καὶ φρουρὰν αὐτοὺς ἐν τῇ πόλει καταϛῆσαι. εἰρήνην δὲ πεντηκονταέτη ταῖς πόλεσιν ἐπρυτάνευσεν· ἦν γὰρ εἰρηνικός, ὡς καὶ δειλὸς εἶναι διὰ τοῦτο νομίζεσθαι. ἡ δὲ εἰρήνη ἑβδόμῳ ἔτει διαλύεται, λύσαντος αὐτὴν Ἀλκιβιάδου. ϛρατεύει δὲ ἐπὶ Σικελίαν σὺν Ἀλκιβιάδῃ, καὶ ἡττηθεὶς καὶ νόσῳ νεφρίτιδι συσχεθεὶς ἔγραψε πρὸς Ἀθηναίους ἢ τὴν ἦσαν μεταπέμψασθαι δύναμιν ἢ ἑτέραν ἀποϛέλλειν. καὶ ἀπέϛειλαν ὑπὸ ϛρατηγῷ Δημοσθένει, ὃς καὶ αὐτὸς ἡττήθη. καὶ οἱ μὲν ἔφυγον, οἱ δὲ ϛρατηγοὶ ἐζωγρήθησαν· ἀπέκτειναν δὲ αὐτοὺς οἱ Σικελοί.

*Νικόλαος* Δαμασκηνός, γνώριμος Ἡρώδου τοῦ τῶν Ἰουδαίων βασιλέως καὶ Αὐγούϛου Καίσαρος, φιλόσοφος περιπατητικὸς ἢ a

Πλατωνικός, ἔγραψεν ἱςορίαν καθολικὴν ἐν βιβλίοις π', καὶ τοῦ βίου Καίσαρος ἀγωγήν. οὕτως δὲ ἠσπάσατο αὐτὸν Καῖσαρ ὡς τοὺς ὑπ' ἐκείνου πεμπομένους πλακοῦντας Νικολάυς αὐτὸν καλεῖν· καὶ διαμένει τοῦτο ἄχρι τῆς σήμερον. ἔγραψε καὶ περὶ τοῦ ἰδίυ βίυ καὶ τῆς ἑαυτοῦ ἀγωγῆς.

οὗτος ἐν τῇ ὅλῃ παιδείᾳ τεθραμμένος διὰ τὸ καὶ τὸν πατέρα αὐτοῦ περὶ ταῦτα μάλιςα σπουδάσαι, ἐπειδὴ ἀπ' αὐτῆς αὐτῷ ὅ τε πλῦτος καὶ ἡ δόξα ὑπεγίνετο, ἔτι μᾶλλον ηὔξησε ταύτην, ἐρωτά τινα ἀδιήγητον αὐτῆς σχών, ἄλλως τε καὶ φύσεως οὐ φαύλης λαβόμενος, ὥςε πρὶν γενειᾶν εὐδόκιμος εἶναι ἐν τῇ πατρίδι καὶ τῶν ἡλίκων διαφέρειν. γραμματικῆς τε γὰρ ὐδενὸς χεῖρον ἐπεμεμέλητο καὶ δι' αὐτὴν ποιητικῆς πάσης, αὐτός τε τραγῳδίας ἐποίει καὶ κωμῳδίας εὐδοκίμους, ἔτι μᾶλλον ὕςερον αὐξηθείς, ὥςε καὶ τὴν δύναμιν συναυξῆσαι ῥητορικῆς τε καὶ μουσικῆς καὶ τῆς περὶ τὰ μαθήματα θεωρίας καὶ φιλοσοφίας πάσης. ζηλωτὴς γὰρ Ἀριςοτέλους γενόμενος καὶ τὸ ποικίλον τῆς περὶ τὸν ἄνδρα παιδείας ἀγαπήσας, χάριν εἰδέναι πᾶσιν ἔλεγεν ἀεὶ τοῖς μαθήμασι, πολὺ μὲν ἔχουσι τὸ ἐλευθέριον, πολὺ δὲ τὸ χρήσιμον εἰς τὸν βίον, πάντων δὲ μάλιςα τὸ εὐδιάγωγον πρός τε νεότητα καὶ γῆρας. ἔλεγε δὲ καὶ τὰς μούσας διὰ τοῦτο ἄρα πολλὰς ὑπὸ τῶν θεολόγων παραδεδόσθαι, ὅτι πολὺ τὸ ποικίλον ἔχει τὰ παιδεύματα καὶ πρὸς πᾶσαν βίυ χρῆσιν οἰκεῖον· καὶ οὔτε τὴν ἐμπειρίαν αὐτῶν οὔτε τὴν ἀπόλειψιν ὁμοίως ὑπελάμβανεν εἶναι τῇ τῶν βαναύσων τεχνῶν, ἀλλὰ τοὐναντίον ἐπονείδιςον τοῖς μετρίως ζῶσι τήν τε τούτων ἄγνοιαν καὶ τὴν τῶν βαναύσων ἐπιςήμην. οὗτος μὲν οὖν οὐκ ἔςιν ὅτῳ τῶν παιδευμάτων πρὸς ἀργυρισμὸν ἐχρήσατο, οὐδὲ ἐκαπήλευσεν.

ἔφη δὲ Νικόλαος ὁμοίαν εἶναι τὴν ὅλην παιδείαν ἀποδημίᾳ. ὡς γὰρ ἐν ταύτῃ προσσυμβαίνει τοῖς ἀποδημῦσι καὶ μακρὰν ὁδὸν διεξιῦσιν ὅπυ μὲν ἐγκατάγεσθαί τε καὶ ἐναυλίζεσθαι μόνον, ὅπου δὲ ἐναριςᾶν, ὅπου δὲ πλείους ἐνδημεῖν ἡμέρας, ἐνίους δὲ τόπους ἐκ παρόδου θεωρεῖν, ἐπανελθόντας μέντοι ταῖς ἑαυτῶν ἐνοικεῖν ἑςίαις, οὕτω καὶ διὰ τῆς ὅλης παιδείας διερχομένους δεῖν ἐν οἷς μὲν ἐπιτηδεύμασιν ἐπὶ πλέον ἐνδιατρίβειν ἐν οἷς δ' ἐπ' ἔλαττον, καὶ τὰ μὲν ὅλα τὰ δὲ ἐκ μέρους τὰ δὲ ἄχρι ςοιχειώσεως παραλαμβάνειν, καὶ τὸ ἐκείνων χρήσιμον κατασχόντας ἐπὶ τὴν ὡς ἀληθῶς πατρῴαν ἑςίαν ἀνελθόντας φιλοσοφεῖν. Exc. Peir. p. 417.

*Νικόλαος* Μύρων τῆς Λυκίας, ὁ διά- b
πυρος τῶν χριςιανῶν καὶ ζηλωτὴς καὶ ἱερεύς, ὁ πολλὴν ἔχων πρὸς τὸν θεὸν παρρησίαν. οὗτος οὐκ ἔγραψε μέν, ἐν ὀνείροις δὲ ἐπιςὰς τῷ βασιλεῖ Κωνςαντίνῳ καὶ τρεῖς ςρατιώτας ἔκ τινος διαβόλου καταχριθέντας τὴν ἐπὶ θανάτῳ ἐρρύσατο, παράκλησιν δι' εὐχῆς παρ' αὐτῶν δεξάμενος. καὶ ἄλλους δέ τινας ςρατιώτας ὁμοίως ἐκ θανάτου ἐξήρπασε, καὶ ὐ παύεται μέχρι τῆς σήμερον τοὺς τὴν πρεσβείαν αὐτοῦ ἐπικαλουμένους ἀπὸ πάσης ἀνάγκης λυτρούμενος.

*Νικόλαος* Μύρων τῆς Λυκίας, ἀδελφὸς c
Διοσκορίδου γραμματικοῦ καὶ ὑπάρχου καὶ ὑπάτυ καὶ πατρικίυ, σοφιςεύσας καὶ αὐτὸς ἐν Κωνςαντινυπόλει, μαθητὴς γεγονὼς Λαχάρυς, ἔγραφε τέχνην ῥητορικὴν καὶ μελέτας.

*Νικόλαος* ῥήτωρ, γνώριμος Πλυτάρχυ d
καὶ Πρόκλου (Πλουτάρχου δὲ λέγω τῦ ἐπίκλην Νεςορίυ), ἔγραψε προγυμνάσματα καὶ μελέτας ῥητορικὰς καὶ ἄλλα τινά. ἤκμαζεν ἐπὶ Λέοντος βασιλέως τοῦ πρεσβυτέρυ, καὶ ἕως Ζήνωνος καὶ Ἀναςασίου.

*Νικόμαχος* Ἀθηναῖος τραγικός, ὃς Εὐ- a
ριπίδην παραδόξως καὶ Θέογνιν ἐνίκησε. τῶν δραμάτων ἐςὶν αὐτοῦ Οἰδίπους.

*Νικόμαχος* Ἀλεξανδρεὺς τῆς Τρωικῆς, b
τραγικός, γράψας τραγῳδίας ια', ὧν καὶ αἵδε, Ἀλέξανδρος, Ἐριφύλη, Γηρυόνης, Ἀλετίδης, Ελλείθυια, Νεοπτόλεμος, Μυσοί, Οἰδίπους, Περσίς, Πολυξένη, Τριλογία, Μετεκβαίνουσαι, Τυνδάρεως ἢ Ἀλκμαίων, Τεῦκρος.

*Νικόμαχος* Σταγειρίτης φιλόσοφος, υἱὸς c
μὲν Ἀριςοτέλους τοῦ φιλοσόφυ, μαθητὴς δὲ Θεοφράςου, ὡς δέ τινες, καὶ παιδικά. ἔγραψεν ἠθικῶν βιβλία ς', καὶ περὶ τῆς φυσικῆς ἀκροάσεως τοῦ πατρὸς αὐτοῦ.

*Νικόμαχος* ἰατρός, καὶ αὐτὸς Σταγει- d
ρίτης, Μαχάονος τοῦ Ἀσκληπιοῦ υἱός, ἐξ ὗ κατήγετο Νικόμαχος ὁ πατὴρ Ἀριςοτέλυς τῦ φιλοσόφου, καὶ αὐτὸς ἰατρός. ἔγραψεν ἰατρικῶν βιβλία ς' καὶ φυσικῶν α'.

*Νικομήδεια* πόλις, καὶ *Νικομηδὶς* ναῦς.

*Νικόπολις.* καὶ *Νικοπολίτης* ὁ ἀπὸ τῆς αὐτῆς πόλεως.

Νικοσθένης ὄνομα κύριον.

a Νικόϛρατος κωμικός. τούτου μέμνηται Ἀθήναιος ἐν β´ Δειπνοσοφιϛῶν, λέγει δὲ ὅτι δράματα αὐτοῦ ἐϛὶ Πάνδροσος καὶ Ἄντυλλος, ὅς καὶ Φιλεταίρου δοκεῖ εἶναι, καὶ Ἱεροφάντης καὶ Κλεινή, ἔτι δὲ Ἄβρα καὶ Ἡσίοδος καὶ Διάβολος καὶ Ἀντερῶσα καὶ Ἑκάτη, Μάγειρος, Ὦτις ⟨an Πατριῶται⟩, Πλοῦτος, Σύρος, Ἀπελαυνόμενος, Ψευδοϛιγματίας καὶ Τοκιϛής. ταῦτα ἐν παραθήκῃ εὗρον κείμενα.

b Νικόϛρατος Μακεδὼν ῥήτωρ. ἐτάχθη δὲ ἐν τοῖς κριθεῖσιν ἐπιδευτέροις δέκα ῥήτορσι, σύγχρονος Ἀριϛείδου καὶ Δίωνος τοῦ χρυσοϛόμου· ἦν γὰρ ἐπὶ Μάρκου Ἀντωνίȣ τοῦ βασιλέως. ἔγραψε δεκαμυθίαν, εἰκόνας, πολυμυθίαν, θαλαττουργȣ̀ς καὶ ἄλλα πλεῖϛα, καὶ ἐγκώμια εἴς τε τὸν Μάρκον καὶ ἄλλους.

Νικοφῶν Θήρωνος Ἀθηναῖος κωμικός, σύγχρονος Ἀριϛοφάνους τοῦ κωμικοῦ. τῶν δραμάτων αὐτοῦ καὶ ταῦτα, ἐξ Ἄδȣ ἀνιών, Ἀφροδίτης γοναί, Πανδώρα, Ἐγχειρογάϛορες, Σειρῆνες.

Νικοχάρης Φιλωνίδου τοῦ κωμικοῦ, Ἀθηναῖος κωμικός, σύγχρονος Ἀριϛοφάνȣς. τῶν δραμάτων αὐτȣ̃ Ἀμυμώνη, Πέλοψ, Γαλάτεια, Ἡρακλῆς γαμῶν, Ἡρακλῆς χορηγός, Κρῆτες, Λάκωνες, Λήμνιαι, Κένταυροι, Χειρογάϛορες.

Νικυρίς ὄνομα τόπου.

νικῷεν καὶ νικῴη εὐκτικά.

Νίκων. οὗτος πὺξ καὶ πάλην καὶ παγκράτιον καὶ δρόμον καὶ τἆλλα ἐν Ὀλυμπίᾳ καὶ Νεμέᾳ καὶ Ἰσθμοῖ καὶ ἄλλοις ἀγῶσι νικήσας ἔλαβε ϛεφάνους, ὥς φασι, χιλίȣς καὶ τετρακοσίους. ἀπελθόντος δὲ αὐτοῦ ἐξ ἀνθρώπων, τῶν ἀπεχθανομένων τις ζῶντι αὐτῷ παρεγίνετο ἐπὶ τὴν εἰκόνα αὐτοῦ καὶ ἐμαϛίγου αὐτήν, ἐς ὃ πεσοῦσα ἐκείνη ἠμύνατο τὸν ὑβριϛήν. τοῦ δὲ οἱ παῖδες ἐπεξῄεσαν φόνου τῇ εἰκόνι, καὶ οἱ Θάσιοι καταποντοῦσιν αὐτήν, κατὰ νόμον Δράκοντος Ἀθηναίȣ ὑπεροριζοντος φονεύοντα καὶ τὰ ἄψυχα. ταύτην δὲ ἡ Πυθία ἔχρησε κακῶς Θασίοις πράττουσιν ἀνενεγκεῖν. ἀπορούντων δὲ περὶ τῆς ἀναγωγῆς, οἱ ἁλιεῖς τὰ δίκτυα χαλάσαντες ἐπὶ ἰχθῦς ἀνήνεγκαν τὴν εἰκόνα. καὶ ἔϛησαν αὐτὴν οἱ Θάσιοι ὅθι καὶ πρῶτον ἦν. Pausan. 6 11 de Theagene.

νίν αὐτάς· "Εὐμενίδας ὅ γ᾽ ἐνθάδ᾽ ὤν εἴποι λεώς νιν" Σοφοκλῆς ⟨OC 43⟩. "σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς τοὔργον, τὰ δ᾽ ἔργα τȣ̀ς λόγȣς εὑρίσκεται" ⟨El. 624⟩.

Νινευί πόλις, καὶ Νινευίτης ὁ ἀπὸ τῆς αὐτῆς πόλεως.

Νιόβη ὄνομα κύριον.

Νιρεύς ὁ καλὸς καὶ εὔμορφος.

Νῖσα πόλις. καὶ Νισαία πόλις.

Νισαία τῆς Μεγαρίδος νεώριον.

Νίσαιον τόπος Περσίδος, ἔνθα ἵπποι ὤκιϛοι γίνονται, Νισαῖοι λεγόμενοι. οἱ δὲ ⟨Herodot. 7 40⟩ ὅτι πεδίον μέγα τῆς Μηδικῆς, τῷ οὔνομά ἐϛι Νίσαιον. τοὺς οὖν δὴ ἵππȣς τοὺς μεγάλους φέρει τὸ πεδίον τοῦτο. καὶ Νισαῖος ὄνομα κύριον, καὶ ὁ πολίτης καὶ ὁ ἵππος.

Νίσιβις Νισίβεως ὄνομα πόλεως. καὶ Νισιβηνός ὁ πολίτης.

Νῖσος ὄνομα κύριον. Νίσῳ δ᾽ ἔλαχεν ἡ Μεγαρίς.

νισσόμενος ⟨Hom. *N* 186⟩ ἀναϛρεφόμενος, καὶ νίσσοντο ⟨*M* 119⟩ ἀνεϛρέφοντο.

νιτάριον καὶ βιτάριον ὑποκοριϛικὰ πρὸς γυναῖκας. νιτάριον οἷον νεόττιον, τουτέϛι κοράσιον. Σύμμαχος δέ φησι, Νίταρος πολὺς ἐπὶ μαλακίᾳ ὀνειδιζόμενος, καὶ Βάτος. καὶ τὰς μικρὰς καὶ θηλείας βατύλας ἔλεγον, καὶ Θεοπόμπου δρᾶμα ἔϛι Βατύλη. οἱ δέ φασιν εἴδη φυτῶν· θέλει οὖν εἰπεῖν ὅτι ὡς ἄνθη με εἶχεν. Ἀριϛοφάνης ⟨Plut. 1012⟩ "καὶ νὴ Δί᾽ εἰ λυπουμένην γ᾽ αἴσθοιτό με, νιτάριον καὶ βιτάριον ὑπεκορίζετο."

Νιτάριος ὄνομα κύριον.

Νιτέρειον ἀκρωτήριον.

Νιτρία τόπος.

νίτρον.

Νίτωκρις ὄνομα κύριον.

νιφάδες ϛαγόνες· "καὶ ἔπεα νιφάδεσσιν ἐοικότα" ⟨Hom. Γ 222⟩.

νίφει χιονίζει, καὶ νιφόμενος χιονιζόμενος.

νιφετός ἡ κατὰ λεπτὸν καταφερομένη χιών. τέσσαρές εἰσι πήξεις τῆς ἐν τῷ ἀέρι ὑδατώδȣς ὑγρότητος, ὑπὲρ γῆν μὲν ἄνω ἐπ᾽ ἔλαττον μὲν χιών, ἐπὶ πλέον δὲ χάλαζα, ἐπὶ γῆς δὲ κάτω ἐπ᾽ ἔλαττον μὲν πάχνη, ἐπὶ πλέον δὲ κρύϛαλλος. ὁ δὲ νιφετὸς πῆξις οὐκ ἔϛιν, ἀλλὰ μᾶλλον περὶ τὴν ἀλλοίαν χροιὰν ἡ ποιότης αὕτη. "ἅτε τῆς χώρας τῶν Σκυθῶν θαμὰ νιφετῷ παλυνομένης, καὶ ἀδύνατον ὂν αὐτοῖς ἄνευ κρυμώδους καταϛήματος βιο-

τεύειν" (Menand. p. 297 Nieb.). καὶ αὖθις (AP 6 252) "ἐς δὲ σ', ἄνασσα, τοίην χὠ νιφόεις κρυμὸς ὀπωροφορεῖ."

*νιφοςιβεῖς* δίυγροι· (S Ai. 669) "καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα τιμαῖς ὑπείκει. τοῦτο μὲν νιφοςιβεῖς χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει."

*νόημα* ἐφεύρεμα· (A Eq. 1203) "τὸ μὲν νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν." οὕτω γὰρ οἱ δημαγωγοὶ ἀςεϊζόμενοι ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τῆς θεοῦ, ὅτι ἡ μὲν θεὸς ὑπέβαλεν, ἥρπασα δ' ἐγώ.

*Νοήμονος.*

*νοητά* τὰ μὴ αἰσθητά, τὰ ἀόρατα.

*νοθεία* ἡ λαθραία γέννα, ἡ πορνεία.

*νοθεῖα.* τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα οὕτω καλεῖται, ἦν δὲ μέχρι χιλίων δραχμῶν. οὕτω Λυσίας καὶ Ἰσαῖος καὶ Ἀριςοφάνης (Av. 1643) καὶ Ὑπερίδης καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριςοκράτους (213). Harp.

*νοθεύει* ἀπατᾷ, ἀπαλλοτριοῖ.

*νόθος* ὁ ξένος.

*νοιδίων* διανοημάτων. παρήγαγε δὲ ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ τὸ νοίδιον ὑποκοριςικόν. τινὲς δὲ οὕτως, ὀνειδισμῶν καὶ λοιδοριῶν ἀπὸ τȣ̃ οἴνȣ καὶ τῆς μέθης. Ἀριςοφάνης (Eq. 100) "ἐγὼ δὲ πάντα καταπάσω βουλευματίων γνωμιδίων νοιδίων."

*νομάδες* βοσκόμεναι ἀγέλαι. καὶ ἔθνη Σκυθικά· "νομάδεσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων" Ἀριςοφάνης (Av. 942). ἐπὶ τῶν παρενοχλούντων καὶ ἐπιμενόντων, ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι διὰ τὸ ἀφόρητον αὐτοῦ ἐφ' ἁμαξῶν τὰ πράγματα βάλλοντες ἀπαίρȣσιν εἰς ἄλλην χώραν. ὁ δὲ μὴ ἔχων ἐκεῖσε ἅμαξαν ἄτιμος παρ' αὐτοῖς κρίνεται.

*νομαδίτης* ὁ ἰδιώτης βίος.

*νομάδων* ἀγρίων, βαρβάρων, οἱ λεγόμενοι ἁμαξοφόρητοι ἢ ἁμαξόβιοι.

*νομαί* μερισμοί.

*νομαία* ἡ ἐκ τῆς νομῆς· ἐν ἐπιγράμμασι (AP 6 157) "καί σοι ἐπιρρέξει χιμάροιο νομαίης αἷμα."

*νομάρχαι* οἱ κατὰ τέλη τῆς χώρας ἄρχοντες παρ' Αἰγυπτίοις· οἳ ἦσαν ἐπὶ Πτολεμαίου τοῦ μετὰ Ἀλέξανδρον τὸν Φιλίππου.

*Νομᾶς* ὄνομα κύριον, ὁ Ῥωμαίων νομοθέτης.

*νομεύς* ποιμήν, βοσκός.

*νομή* ὁρμὴ πυρός· "τὴν νομὴν τοῦ πυρὸς ἐνεργὸν συνέβη γενέσθαι καὶ πρακτικήν" (Polyb. 1 48).

*νομιζόμενα* νόμιμα, ἢ ὑπολαμβανόμενα· Ἀριςοφάνης (Plut. 1186) "οὐκοῦν τὰ νομιζόμενα σὺ τȣ́των λαμβάνεις." ἐπειδὴ νόμος ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν. δέρματα καὶ κωλαῖ. cf. v. κωλακρέτης.

*νομίζουσιν* ἀντὶ τοῦ νομίσματι χρῶνται. καὶ νομίζουσιν ἀντὶ τοῦ ἡγοῦνται· "ἥνπερ μεγίςην τιμὴν παρὰ βασιλέως ἐς ἰδιώτας νομίζουσι."

*νόμιον* δίκαιον. καὶ *νόμιον μέλος* τὸ ἐν τῇ νομῇ ᾀδόμενον.

*νόμισμα* δύο σημαίνει, τὸ νόμιμον ἔθος, ὡς Ἀριςοφάνης ἐν Νεφέλαις (249) "ἡμῖν νόμισμ' οὐκ ἔςι," καὶ τὸ κόμμα τȣ̃ τετυπωμένου χαλκοῦ. λεπτῷ δὲ νομίσματι ἐχρῶντο οἱ Βυζάντιοι.

*νομιςευομένων* νομίμως διοικȣμένων· "ἐνέβαλε δὲ χρυσοῦς ἐπισήμους, εἴς τινας δὲ τετράδραχμα τῶν ἐπιφανῶς νομιςευομένων." καὶ αὖθις "χαλκοῦ τοῦ ἐν Ἀλεξανδρείᾳ νομιςευομένου τάλαντα τετρακισχίλια."

*Νομίτωρος* ὄνομα κύριον.

*νομογράφοι.* παρὰ Ῥωμαίοις τριακοσιοςῷ πρώτῳ ἐνιαυτῷ μετὰ τὸν συνοικισμὸν τῆς πόλεως, παραλυθείσης τῆς τῶν ὑπάτων ἀρχῆς, ι' νομογράφοι τὴν τῶν κοινῶν ἐπιτρέπονται προςασίαν· οἳ χρόνον δή τινα πρὸς τὸ λυσιτελὲς καὶ ἡδὺ τῶν πολιτῶν ἐξηγούμενοι μέτριοί τε ἐδόκουν καὶ ἄρχειν μάλιςα πάντων ἐπιτήδειοι. οὗτοι γάρ πȣ καὶ τὰς ι' δέλτους ἐπιχωρίοις τε καὶ Ἑλληνικοῖς νόμοις ἀναγράψαντες ἐς τὰς καλουμένας κύρβεις ἀνέθηκαν. δευτέρῳ δὲ ἔτει τῆς ἡγεμονίας, βαρύτητος τυραννικῆς αἰτίαν ἀπενεγκάμενοι διελύθησαν, Ἀππίου μάλιςα τὸ πλῆθος εἰς ἀπέχθειαν τῆς δεκαρχίας κινήσαντος, ὃς Οὐεργινίȣ τινὸς ἀνδρὸς οὐκ ἀσήμȣ τὰ πολεμικὰ θυγατέρα φθεῖραι παρθένον ἐπενόει, ἔρωτι γεγονὼς θερμῷ τῆς κόρης κατάσχετος· ἣν ὁ πατὴρ αὐτοχειρὶ διεχρήσατο, δείσας τὴν τοῦ Ἀππίου δυναςείαν, αἰσχῦναι τὴν κόρην πρὸς βίαν ὡρμημένȣ. ἐφ' ᾧ κινηθὲν τὸ ςρατιωτικὸν ἅπαν ἀφείλετο τοὺς ι' τὰ τῆς ἐξουσίας, δίκας τε ἀποτῖσαι τῶν κατὰ τὴν ἀρχὴν πεπλημμελημένων ἠνάγκασε.

*νομοθεσία* θέσις νόμου.

*νομοθέται* τὸ πάλαι Μωυσῆς, μετέπειτα δὲ ὁ Χριςὸς Ἰησοῦς. a

b νομοθέται. παρ' Ἀθηναίοις πρῶτος ἐγένετο Δράκων, καὶ μετ' αὐτὸν Σόλων, καὶ μετὰ τοῦτον Θαλῆς, καὶ μετὰ τοῦτον Αἰσχύλος.

νομοΐστορες νομομαθεῖς.

νομόν νομήν, βοσκήν.

Νόμος καὶ Ἰανουάριος ἐπιεικείᾳ καὶ δικαιοσύνῃ τῶν πολιτῶν ὑπερφέροντες, οἶμαι, καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων ἀνθρώπων τῶν γε νῦν ζώντων καὶ ἐν πράγμασι πολιτικοῖς ἀναστρεφομένων, ἐπῃνοῦντο καὶ ἠγαπῶντο πρός τε ἀστῶν καὶ ξένων· τῇ τε γὰρ πατρίδι χρησιμώτατοι γεγόνασι, καὶ δεξιώτατοι πρὸς τοὺς ξένους. ἑλόμενοι δὲ τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον ἐλαττοῦσθαι μᾶλλον ᾑροῦντο τὰ οἰκεῖα ἢ πλέον τι ἔχειν ἀπὸ τῶν ἀλλοτρίων. κοινὰ μὲν οὖν ταῦτα αὐτοῖς· ἰδίᾳ δὲ ὁ μὲν Νόμος εὐφυέστερος ἦν καὶ φιλομαθέστερος ἐν λόγοις τοῖς τε φιλοσοφίας ἀπογεύεσθαι βουλομένοις καὶ ὅσοι προπαιδεύουσι τοὺς νέους. ἦν δὲ καὶ κριτικώτατος τῶν καθ' ἡμᾶς ἐλλογίμων ἀνδρῶν ποιημάτων τε πάντων καὶ συγγραμμάτων τῆς λογογραφικῆς ἀρετῆς καὶ κακίας· ὡς γοῦν φάναι τὸ ὅλον, οὔτε Σεβηριανὸν οὔτε Ἀγάπιον τὸν φιλόσοφον εἴποιμι ἂν γενέσθαι τοιούσδε περὶ λόγων κρίσιν. ὁ δὲ Ἰανουάριος ἐμπειροπράγμων ἦν καὶ φρόνιμος ἐν τοῖς πολιτικοῖς ἐπὶ πλέον ἢ ὁ ἀδελφὸς αὐτοῦ Νόμος, ἔτι δὲ σωφρονέστερος καὶ τἆλλα μᾶλλον τεταγμένος. Damasc. Phot. p. 342 b.

a νόμος θεσμός, συνήθεια.

b νόμος παρὰ Σοφοκλεῖ ⟨Ai. 548⟩ ἡ φύσις τοῦ γεγεννηκότος καὶ τὸ ἦθος. νόμος καὶ ἡ ἱστορία. ὁ ἀπόστολος ⟨Gal. 4 21⟩ "ὑπὸ νόμον θέλοντες εἶναι τὸν νόμον οὐκ ἀκούετε."

ὅτι τὸν νόμον σπουδαῖον δεικνύοιμεν ἄν, εἰ ὁρισαίμεθα αὐτὸν ὀρθὸν λόγον ἐπὶ σωτηρίᾳ τῶν χρωμένων. Alex. Aphrod. in Top.

c νόμος. πολυώνυμός ἐστιν ἡ λέξις. καὶ νόμος μὲν ὡς τὴν ἀρίστην πολιτείαν ῥυθμίζων καὶ διατάττων, μαρτύρια δὲ ὡς τοὺς ἁμαρτάνοντας διαμαρτυρόμενος καὶ τῆς παραβάσεως τὴν τιμωρίαν ὑποδεικνύς, δικαιώματα δὲ ὡς διδάσκων τὸ δίκαιον καὶ ἀπαγορεύων τὸ ἄδικον καὶ τοὺς κατορθοῦντας ἀποφαίνων δικαίους, ἐντολὴ δὲ ὡς τὸ πρακτέον ἐντελλόμενος καὶ κελεύων δεσποτικῶς, κρίματα δὲ ὡς τὰς ψήφους ὑποδεικνύς, καὶ διδάσκων τίνων μὲν ὁ φυλάττων τεύξεται ἀγαθῶν, τίσι δὲ ὁ παραβαίνων τιμωρίαις παραδοθήσεται. Theodoret. in Ps. 18 8: cf. v. δικαιώματα.

νόμος τρία σημαίνει. ὁ μὲν γὰρ δίχα d
γραμμάτων διὰ κτίσεως ἐδόθη τοῖς ἀνθρώποις· ⟨Rom. 1 20⟩ "τὸ γὰρ ἀόρατον τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενον καθορᾶται," καὶ πάλιν ⟨2 14⟩ "ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσὶ νόμος." καὶ ὁ ἐν γράμμασι διὰ Μωσέως τῶν παραβάντων χάριν παρεσχημένος. καὶ τρίτος ὁ διὰ τῆς χάριτος· ⟨8 2⟩ "ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου." Theodoret. in Ps. 18 prooem.

νόμος κατὰ τὸν ἀπόστολον σημαίνει τέσ- e
σαρα. ὁ τοῦ θεοῦ, περὶ οὗ φησί ⟨Rom. 7 22⟩ "συνήδομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ," καὶ ὁ ἀντιστρατευόμενος. τρίτος περὶ οὗ φησὶ ⟨23⟩ "τῷ νόμῳ τοῦ νοός μου." τέταρτος περὶ οὗ λέγει "τῷ νόμῳ τῷ ὄντι ἐν τοῖς μέλεσί μου."

νόμος καὶ χώρα διὰ τὸ ἕκαστον ἔθνος f
ἰδίοις νόμοις χρῆσθαι.

νόμος ὁ κιθαρῳδικὸς τρόπος τῆς μελῳ- g
δίας, ἁρμονίαν ἔχων τακτὴν καὶ ῥυθμὸν ὡρισμένον. ἦσαν δὲ ζ' οἱ ὑπὸ Τερπάνδρου, ὧν εἷς ὄρθιος, τετράδιος, ὀξύς. Δωριεῖς δὲ ἐπὶ νομίσματος χρῶνται τῇ λέξει, καὶ Ῥωμαῖοι παρατρέψαντες νοῦμμιον λέγουσιν. Ἀττικοὶ τὰ διανενεμημένα μέρη τῆς γῆς, ὡς καὶ ἐν Αἰγύπτῳ. καὶ τὸ ἔγγραφον δίκαιον.

ὅτι Δαρεῖος εἶχε νόμον τόν τε Φρύγιον καὶ Λύδιον καὶ Ἰωνικόν.

νομός καὶ ἡ βοσκὴ καὶ ὁ τόπος.

νομοφυλακείου θύρα, δι' ἧς οἱ κατάδικοι τὴν ἐπὶ θάνατον ἐξάγονται. cf. v. Χαρώνειος θύρα.

νομοφύλακες. ἀρχή τις παρὰ Ἀθηναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν, οἵτινες τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι.

νόνναι τοῦ μηνός.

νοσηλεία ἀσθένεια. νοσήλια δὲ φάρμακα.

νοσηλεύεσθαι νοσεῖν οὐκ ἐπαχθῶς.

νοσηλεύω νοσοῦντα θεραπεύω.

νοσοκομεῖον ὁ ξενών.

νόσον ἔχειν ἀντὶ τοῦ φαῦλον ἦθος ἔχειν Εὐριπίδης Ἀντιόπῃ.

νοσοποιεῖν.

νόσος. ὅτι πυρεττόντων ἢ ψυχομένων ἐν ταῖς νόσοις ἑαυτῶν αἰσθανόμεθα, οὐκ αὐτῶν τῶν αἰσθητικῶν νεύρων ἢ τῶν σαρκῶν τεθερμασμένων, ἀλλὰ τῶν ὑγρῶν, αἵματός τε καὶ πνεύματος. ἐπεὶ οὖν ἡ αἰσθητικὴ δύναμις πρώτως ἐν σαρξὶν ἔςι καὶ νεύροις, εἰκότως τῶν ὑγρῶν δυσκράτως ἐχόντων, πνεύματος λέγω καὶ αἵματος, παρακειμένων τε τοῖς αἰσθητικοῖς μορίοις, τῇ θίξει ἀντιλαμβανόμεθα αὐτῶν ὥσπερ καὶ τοῦ ἀέρος τεθερμασμένου ἢ κατεψυγμένου, κἂν αὐτῶν δὲ τῶν ςερεῶν ἅψηται ὁ πυρετός, ἐπειδὴ μὴ ὁμαλῶς θερμαίνεται ἀλλ' ἀνωμάλως. εἰσὶ γάρ τινα μόρια κατὰ φύσιν ἔχοντα, τινὰ δὲ παρὰ φύσιν. οὐ συμβαίνει τὰ κατὰ φύσιν ἔχοντα ἀντιλαμβάνεσθαι τῶν παρὰ φύσιν διακειμένων· ἀδύνατον γὰρ ὁμαλὴν γενέσθαι τὴν δυσκρασίαν. οἱ δὲ ἐκτικῷ κατεσχημένοι πυρετῷ, τὅτο δ' ἔςιν οἱ τὰ ςερεὰ πυρέττοντες, ὁμαλῆς γενομένης ἐν αὐτοῖς τῆς δυσκρασίας δι' ὅλων τῶν ςερεῶν, συναίσθησιν οὐδεμίαν τῆς ἐν αὐτοῖς θερμασίας λαμβάνουσι, διὰ τὸ ὁμαλὴν εἶναι δι' ὅλων τῶν μορίων τὴν θερμασίαν, καὶ μὴ εἶναι τὸ μὲν ποιοῦν τὸ δὲ πάσχον. Philopon. in 2 de anima, *I* 4 a.

νόσος λεγόμενον ἐγκατασκῆψαι. πρὸς τὸ σημαινόμενον ἡ σύνταξις, πρᾶγμα δηλονότι, παρὰ Θουκυδίδῃ (2 47).

νοσήσας ἐπανελθών. Hom. *Δ* 103.

νόσος ἡ οἴκαδε ἐπάνοδος, παρὰ τὸ τῆς πατρίδος ἡδύ. ἢ ἡ ἀνάδοσις τῆς γεύσεως. "καὶ οἱ ποιηταὶ δὲ οἱ τοὺς νόσους ὑμνήσαντες ἕπονται τῷ Ὁμήρῳ ἐς ὅσον εἰσὶ δυνατοί."

νόσφι χωρίς.

νοσφιζόμεθα χωριζόμεθα.

νοσφιζόμενον ὑφαιρούμενον, ἰδιοποιούμενον.

νοσῶ αἰτιατικῇ.

νοτάριος ὁ γραμματεύς· νότα γὰρ τὰ γράμματα.

νοτία ἡ θάλασσα καὶ ἡ ὑγρασία.

Νότιον χωρίον προκείμενον τῆς Κολοφωνίων πόλεως. νότιον δὲ κλίμα τὸ πρὸς νότον κείμενον.

νότιος ὑγρός, καὶ νότιος ἱδρώς (Hom. *Λ* 811) ὁ ὑγρός.

Νότος ὁ ἄνεμος. καὶ Νοτόθεν ἀπὸ Νότου.

νουβυσικὸν νῦ πεπληρωμένον· (A Eccl. 441) "γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουβυσικόν." καὶ νουβυσικῶς συνετῶς. sch. A Vesp. 1285.

Νουμᾶς Πομπίλιος. τοῦτον οἱ Ῥωμαῖοι καὶ μὴ ἐπιδήμιον ὄντα προεβάλοντο μετὰ τὰς μεσοβασιλεῖς, καὶ αὐτῷ πᾶσαν τὴν ἡγεμονίαν ἐκ προβουλεύματος ἔδοσαν. καὶ τὰ πολιτικὰ ἔθη οὗτος διῳκήσατο, ἐνιαυτόν τε πρῶτος εὕρατο, εἰς ιβʹ μῆνας τὴν ἡλιακὴν καταμείνας περίοδον, χύδην τε καὶ ἀκατανοήτως παντάπασι πρὸ αὐτοῦ παρὰ Ῥωμαίοις φερομένην. ἱερά τε καὶ τεμένη ἱδρύσατο, καὶ τοὺς λεγομένους ποντίφικας καὶ φλαμινίους τοῖς ἱερεῦσιν ἐπέςησε, σαλίους τε τοὺς τὴν ὄρχησιν ἀσκήσαντας. τάς τε ἑςιάδας παρθένους τοῦ πυρὸς καὶ ὕδατος τὴν ἐπιμέλειαν ἔχειν ἐπέτρεψεν, αἳ τὴν μὲν ἄκραν τιμὴν παρὰ Ῥωμαίοις εἶχον, διὰ βίου δὲ τὴν παρθενίαν ἐφύλαττον· κἂν τις αὐτῶν ἠνδρώθη, κατεχώννυτο· καὶ διὰ τὅτο οὐ μύρῳ, οὐκ ἄνθεσιν, οὐχ ἱματίῳ χρῆσθαι συνεχωροῦντο, πλὴν λευκοῦ. cf. v. ἀσσάρια.

νουμηνία ἡ τοῦ μηνὸς ἀρχή. ἐν ταῖς νουμηνίαις δὲ οἱ δοῦλοι ἐπωλοῦντο καὶ οἱ ςρατηγοὶ ἐχειροτονῦντο παρὰ Ἀθηναίοις. καὶ Ἀριστοφάνης (Eq. 43) "τῇ προτέρᾳ νουμηνίᾳ." (Ach. 998) "ἀλείφεσθαί σ' ἀπ' αὐτῶν κἀμὲ ταῖς νουμηνίαις" διὰ τὸ ταύτας εἶναι τιμίας τῶν ἡμερῶν.

Νουμήνιος Ἀπαμεὺς ἀπὸ Συρίας, φιλόσοφος Πυθαγόρειος. οὗτός ἐςιν ὁ τὴν τῦ Πλάτωνος ἐξελέγξας διάνοιαν ὡς ἐκ τῶν Μωσαϊκῶν τὰ περὶ θεοῦ καὶ κόσμου γενέσεως ἀποσυλήσασαν. καὶ διὰ τοῦτό φησι "τί γάρ ἐςι Πλάτων ἢ Μωσῆς ἀττικίζων;" Hesychius Mil.

Νουμήνιος ῥήτωρ περὶ τῶν τῆς λέξεως σχημάτων, ὑποθέσεις τῶν Θουκυδίδου καὶ Δημοσθένους, χρειῶν συναγωγήν, Ἀδριανῷ παραμυθητικὸν εἰς Ἀντίνοον.

Νουμής ὄνομα κύριον.

νοῦν. Ἀριςοτέλης τὸν νῦν ἀθάνατον λέγει.

νοῦν ἔχειν· Πολύβιος "νοῦν ἔχειν καὶ τόλμαν δεῖ τὰς ςρατηγούς, ἅπερ ἐςὶ κυριώτατα πρὸς τὰς ἐπισφαλεῖς καὶ παραβόλους πράξεις."

νουνεχῶς πεφροντισμένως· "νουνεχῶς ἐδόκεν πολιτεύεσθαι πρὸς τὰς τότε καιρὰς."

νοῦν τὸν ξένον, ἐπὶ τῶν ὑφορωμένων τινά.

*νοῦς.* ὅτι ὁ νοῦς πάντων ἔχει τοὺς λόγους ἐν ἑαυτῷ, ἀλλὰ τῶν μὲν πρὸ αὐτοῦ εἰκονικῶς, τῶν δὲ μετ' αὐτὸν παραδειγματικῶς.

ὅτι Πυθαγόρας τὴν τοῦ ἀνθρώπου ψυχὴν διαιρεῖσθαι ἔφη εἰς γ', νοῦν φρένας καὶ θυμόν, καὶ νοῦν μὲν καὶ θυμὸν εἶναι καὶ ἐν τοῖς ἄλλοις ζῴοις, φρένας δὲ μόνον ἐν ἀνθρώπῳ. εἶναι δὲ τὴν ἀρχὴν τῆς ψυχῆς ἀπὸ καρδίας μέχρι ἐγκεφάλου, καὶ τὸ μὲν ἐν καρδίᾳ μέρος αὐτῆς ὑπάρχειν θυμόν, φρένας δὲ καὶ νοῦν τὰ ἐν τῷ ἐγκεφάλῳ. Diog. L. 8 30.

ὅτι τῶν νοουμένων τὰ μὲν κατὰ περίπτωσιν ἐνοήθη, τὰ δὲ καθ' ὁμοιότητα, τὰ δὲ κατ' ἀναλογίαν, τὰ δὲ κατὰ μετάθεσιν, τὰ δὲ κατὰ σύνθεσιν, τὰ δὲ κατ' ἐναντίωσιν. καὶ κατὰ περίπτωσιν μὲν τὰ αἰσθητά, καθ' ὁμοιότητα δὲ τὰ ἀπό τινος παρακειμένου ὡς Σωκράτης ἀπὸ τῆς εἰκόνος, κατ' ἀναλογίαν δὲ αὐξητικῶς μὲν ὁ Τιτυὸς καὶ ὁ Κύκλωψ, μειωτικῶς δὲ ὁ πυγμαῖος (καὶ τὸ κέντρον δὲ τῆς γῆς κατ' ἀναλογίαν ἐνοήθη ἀπὸ τῶν μικροτέρων σφαιρῶν), κατὰ μετάθεσιν δὲ οἷον οἱ ὀφθαλμοὶ ἐπὶ τοῦ στήθους, κατὰ σύνθεσιν δὲ ἱπποκένταυρος, καὶ κατ' ἐναντίωσιν θάνατος. νοεῖται δὲ καὶ κατὰ μετάβασίν τινα, ὡς τὰ λεκτὰ καὶ ὁ τόπος. φυσικῶς δὲ νοεῖται δίκαιόν τι καὶ ἀγαθόν, καὶ κατὰ στέρησιν, οἷον ἄχειρ. Diog. L. 8 52.

ὅτι τοῦ νοῦ ἔργον ἐστὶν ἁπλαῖς προσβολαῖς, καὶ κρεῖττον ἢ κατ' ἀπόδειξιν, ἐπιβάλλειν τοῖς πράγμασιν, ὥσπερ ἡ αἴσθησις προσβαλοῦσα τυχὸν τῷ λευκῷ ἢ τῷδε τῷ σχήματι κρεῖττον ἢ κατ' ἀπόδειξιν αὐτοῦ τὴν γνῶσιν ἔσχεν· οὐ γὰρ δεῖται πρὸς ταύτην συλλογισμοῦ. ἡ δέ γε τοῦ νοῦ ἐνέργεια ἐκείνοις παραγίνεται οἷς εἰς ἄκρον καθάρσεως καὶ ἐπιστήμης γέγονεν ἀφικέσθαι, καὶ διὰ τῶν καθαρτικῶν ἀρετῶν ἀφαντάστως καὶ δίχα αἰσθήσεως ἐνεργεῖν συνειθισμένοις. ἔστι γὰρ ὁ νοῦς οἷον ἕξις τῆς ψυχῆς τελειοτάτη. καὶ γίνεται τοίνυν ὁ μὲν νοῦς περὶ τὰ νοητά, ἡ δὲ διάνοια περὶ τὰ διανοητά, ἡ δὲ δόξα περὶ τὰ δοξαστά. τούτων δὲ τῶν δυνάμεων πρώτην μὲν ἔχει τάξιν ὁ νοῦς, μέσην δὲ ἡ διάνοια, ἐσχάτην δὲ ἡ δόξα. ἡ δὲ διάνοια προσῳκείωται τῇ ἡμετέρᾳ ψυχῇ, ἐπειδὴ καὶ αὐτὴ τὴν μέσην ἐν τῷ παντὶ τάξιν ἔχει, καὶ διὰ τῆς διανοίας ἀνάγεται ἡ ἡμετέρα ψυχὴ ἐπὶ τὴν τῶν νοητῶν θεωρίαν, ἥτις ἐστὶ τελειότης τῆς ψυχῆς. ἐπειδὴ γὰρ σύντροφος καὶ σύμφυλός ἐστι τοῖς αἰσθητοῖς ἡ ψυχὴ ἡ ἡμετέρα, ἀδυνατεῖ διὰ τὸν συνεθισμὸν τῶν αἰσθήσεων ἐπὶ τὴν θεωρίαν τῶν νοητῶν καὶ ἀΰλων ἄγειν ἑαυτήν, ἀλλὰ νομίζει κἀκεῖνα σώματα εἶναι καὶ μεγέθη ἔχειν, καὶ ὅσα ἐπὶ τῶν αἰσθητῶν, κἀκείνων φαντάζεται. καὶ Πλάτων ἐν Φαίδωνι "τοῦτό ἐστι τὸ χαλεπώτατον τῶν ἐν ἡμῖν, ὅτι ὅταν σχολὴν ἀπὸ τῶν περιολκῶν τοῦ σώματος μικρὸν ἄγωμεν καὶ θελήσωμεν τῇ θεωρίᾳ τῶν θείων σχολάσαι, παρεμπίπτουσα ἡ φαντασία θόρυβον ἡμῖν κινεῖ, ὑπονοεῖν διδοῦσα ὅτι σῶμά ἐστι τὸ θεῖον καὶ μέγεθος ἔχει καὶ σχῆμα, καὶ οὐκ ἐᾷ ἡμᾶς ἀσωμάτως καὶ ἀσχηματίστως περὶ θεοῦ ἐννοεῖν. καὶ διὰ τοῦτο δεῖ τὴν ψυχὴν ὁδεύουσαν ἐπὶ τὴν ἑαυτῆς τελειότητα πρῶτον ἐνεργῆσαι κατὰ διάνοιαν, ἥτις ἔχει περὶ τὰ μέσα τῶν πραγμάτων οἷά ἐστι τὰ διανοητά, ἥ τε ψυχὴ ἡ ἡμετέρα καὶ ἡ περὶ αὐτῆς θεωρία, ἔτι δὲ καὶ τὰ μαθηματικά." Philopon. in 1 de anima p. . .

*νοῦς οὐκ ἔνι Κενταύροισι* παροιμία ἐπὶ τῶν ἀδυνάτων [illegible] ἀνοήτων ταττομένη. cf. v. τάδ' οὐ παρὰ Κ.

"*νοῦς* οὐκ ἔνι ταῖς κόμαις ὑμῶν, ὅτε μ' οὐ φρονεῖν νομίζετ', ἐγὼ δ' ἑκὼν ταῦτ' ἠλιθιάζω." A Eq. 1126: cf. v. ἠλιθιάζω.

*νύκτα.* νύκτα τὰς συμφορὰς πολλάκις ἡ γραφὴ καλεῖ, ἐπειδὴ οἱ συμφοραῖς περιπίπτοντες ἐν σκότει διάγειν νομίζουσι. Theodoret. in Ps. 3 6.

*νύκτα δασείην* τὴν χειμερινήν φασι.

*νυκταλός* ὁ νύκτα φιλῶν. περὶ Διογένους τοῦ κυνός φησιν "οὐδὲ γὰρ ἦν τις νυκταλὸς καὶ ὑπνηλός." Diog. L. 6 77.

*νυκτερίδος αἶνος.* αἰνιγματωδῶς δηλοῖ περὶ νυκτερίδος. ὑπερέκκειται ἐν τοῖς μετὰ ταῦτα. cf. v. αἶνος a.

*νυκτερινοὶ κύνες* οἱ λύκοι.

*Νυκτερίωνος.*

*νυκτίβιος* ὁ ἐν νυκτὶ ὡς ἐν ἡμέρᾳ διάγων.

*νυκτὶ θοῇ ἀτάλαντος* (Hom. *M* 463). Ὅμηρος τὰ φοβερὰ νυκτὶ ὁμοιοῖ. καὶ ἀλλαχοῦ (*Α* 47) "ὁ δ' ἤιε νυκτὶ ἐοικώς."

*νυκτικόραξ* εἶδος ὀρνέου ἐρημικοῦ, ὃ τὰς οἰκουμένας φεῦγον τῶν οἰκιῶν ταῖς ἐρήμοις καὶ καταλελειμμέναις προστρέχει· τὰ γὰρ οἰκόπεδα ἐρείπιά φασιν. οὕτω καὶ τὸ στρουθίον δειλὸν ὄρνεον ὂν ὑπὸ ἀγωνίας ἐλαύνει τὸν ὕπνον. Theodoret. in Ps. 101 7.

νυκτιλόχοι ληϛαί. καὶ νυκτοπεριπλάνητος παρὰ Ἀριϛοφάνει ⟨Ach. 263⟩.

νύκτωρ διὰ τῆς νυκτός.

νύμφα νύμφη, Ἰωνικῶς, ὡς τόλμη τόλμα.

νύμφαι σκώληκες οἱ ἐν τοῖς τῶν μελισσῶν κυττάροις, ὅταν ἤδη πτεροποιεῖν ἄρξωνται. οἱ δ' ἁπλῶς τοὺς πτερωτοὺς σκώληκας. Σάμιοι καὶ τὸ ἀνὰ μέσον τῶν γυναικείων αἰδοίων νύμφην καλοῦσι. καὶ τῶν ῥόδων αἱ κάλυκες αἱ μεμυκυῖαι νύμφαι. καὶ αἱ νεόγαμοι κόραι νύμφαι. καὶ αἱ μοῦσαι δὲ ὑπὸ Λυδῶν νύμφαι. ὅτι δὲ πάντων τῶν καρπῶν αἱ ἐκφύσεις οὕτω, δῆλον. περὶ δὲ τῶν θεῶν Διονυσίῳ πᾶσα ἱϛορία συνῆκται ἐν λγ' βιβλίοις.

νυμφαῖον νυμφῶν ἱερόν.

Νύμφαιον. ἐν τῷ Πόντῳ ἐϛὶ τὸ Νύμφαιον. καί φησι Κρατερὸς ἐν ἐνάτῳ τῶν ψηφισμάτων ὅτι Ἀθηναίοις ἐτέλει τάλαντον. Harp.

νύμφειος οἶκος, ἐν ᾧ αἱ νύμφαι εἰσί.

νύμφιος κόσμος κτητικῶς, ὡς Τύριος Λύδιος Φρύγιος. ⟨AP 7 188⟩ "ἤματι δ' ᾧ νύμφειος ἀνήπτετο λαμπάδι παϛάς, τούτῳ πυρκαϊῆς οὐ θαλάμων ἔτυχες."

νυμφεύτρια ⟨A Ach. 1024⟩ ἡ συμπεμπομένη ὑπὸ τῶν γονέων τῇ νύμφῃ.

νύμφη πηγή. καὶ ἡ νεόγαμος γυνή, καὶ ἡ γαμετὴ καὶ πρεσβυτέρα, Πηνελόπη καὶ ἡ Ἑλένη. παρὰ Ἀθηναίοις καὶ ἡ τοῦ Διὸς μήτηρ, καὶ ἡ θεὰ ἡ ἐπὶ τῶν ὑδάτων· Αἰλιανός "μῆνις δὲ ἐδόκει καὶ νυμφῶν δι' ἀπορ αν ναμάτων."

νυμφικὰ λουτρά τὰ εἰς γάμες τῆς ἀγορᾶς ἀπὸ κρήνης λαμβανόμενα. cf λουτροφόρος.

Νυμφίος ὄνομα ποταμȣ̃· Πισίδης "καὶ τὸν μέγιϛον ἐκπεράσας Νυμφίον, ὅϛις Τίγρητος ταῖς ῥοαῖς ἐπιρρέων ἀποϛερεῖται τȣ̃ καλεῖσθαι Νυμφίος." cf. v. ἀγωγόν

νυμφίου βίον παροιμία. ⟨A Av. 161⟩ "ἡμεῖς μὲν ἆρα ζῆτε νυμφίου βίον·" οἱ γὰρ γαμοῦντες ἐϛέφοντο σισύμβροις καὶ φυτοῖς τισίν. ἢ ὅτι ἡδυπαθοῦσι πρὸς τὰς τῶν γάμων ἡμέρας.

Νύμφις Νύμφιδος Ξεναγόρȣ, Ἡρακλεώτης ἐκ Πόντου, ἱϛορικός, περὶ Ἀλεξάνδρου καὶ τῶν διαδόχων καὶ ἐπιγόνων βιβλία κδ', περὶ Ἡρακλείας βιβλία ιγ'. ἔχει δὲ μέχρι τῆς καθαιρέσεως τῶν τυράννων τὰ μετὰ τοὺς ἐπιγόνους, καὶ μέχρι τοῦ τρίτȣ Πτολεμαίȣ.

νυμφοϛολῆσαι νύμφην κοσμῆσαι.

νυμφοϛόλος νυμφαγωγός.

νυμφῶνος ⟨Matth. 9 15⟩ τοῦ κοιτῶνος.

νῦν χρονικὸν ἐπίρρημα. ⟨A Eq. 763⟩ "νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ, καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους, ὅτοισι τόνδ' ὑπερβαλῇ· ποικίλος γὰρ ἀνήρ, κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων." κάλων σχοινίον. τροπικῶς δὲ ὡς ἐπὶ τοῦ ἱϛοῦ λέγει, δεῖ τὰ ἄρμενα πάντα κινεῖν ὑπὲρ τοῦ περιγενέσθαι αὐτοῦ.

νῦν δή ἀρτίως, ἢ μικρὸν ἔμπροσθεν. Πλάτων Νόμοις ⟨3 p. 683 E⟩ "ἢ νῦν δὴ ὀλίγον ἔμπροσθεν τȣ́τοις περιτυχόντες τοῖς λόγοις οὔπω ταῦτ' ἐτίθεμεν, νῦν δὲ ἐπιλελήσμεθα;" καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ (233) "νῦν δὴ μὲν ὄρος βᾶσ' ἐπὶ θήρας πόθον ἐϛέλλου, νῦν δὲ ψαμάθοις ἐπ' ἀκυμάντοις." καὶ ἐν Μελεάγρῳ (fr. 16) "ὁρᾷς σὺ νῦν δή μ' ὡς ἐπράϋνας, τύχη." Μάγνης δὲ ἐν Τιτακίδῃ "εἰπέ μοι· νῦν δὴ μὲν ὤμνυς μὴ γεγονέναι, νῦν δὲ φῄς;" ἐν δὲ τοῖς Νόμοις ⟨1 p. 629 D⟩ διαλελυμένον εἴρηκε, τὸ μὲν νῦν ἐπὶ τοῦ παρόντος χρόνου, τὸ δὲ δή ἐπὶ συνδέσμȣ· "ὃς δὴ πάντων τῶν πολέμων χαλεπώτατος, ὡς φαμὲν ἡμεῖς νῦν δή."

νῦν εἰς χώραν ἦλθον, ἐπὶ τῶν πρῶτον μὲν ȣ̓κ ἀνεχομένων ἐλθεῖν ὅποι δεῖ, ὕϛερον δὲ αὐτομάτως παραγενομένων.

νῦν εὐπλόηκα, ὅτε νεναυάγηκα, ἐπὶ τῶν παρ' ἐλπίδα εὐτυχησάντων. Ζήνων γὰρ ὁ Κιτιεὺς καταλιπὼν τοὺς πρὶν διδασκάλȣς καὶ Κράτητος τοῦ φιλοσόφου φοιτητὴς γενόμενος τοῦτο εἴρηκε, ναυαγίῳ περιπεσὼν καὶ εἰπών "εὖγε ποιεῖ ἡ τύχη προσελαύνȣσα ἡμᾶς φιλοσοφίᾳ." οὕτω τραπῆναι πρὸς φιλοσοφίαν. Diog. L. 7 4.

νῦν ἦλθον εἰς χορόν, νῦν τ' ἔπαρδες.

νυνὶ δὲ ὡς τύπῳ πρὸς σε γράφω, ἀντὶ τοῦ ὁλοσχερῶς.

νυνμενί ἀντὶ τοῦ νυνὶ μέν. πολλαχοῦ δὲ οὕτω χρῆται Ἀριϛοφάνης. sch. A Av. 448.

νῦν ὀσπρίων ἄμητος, ἐπὶ τῶν καθ' ὥραν ἕκαϛα πράττειν ὀφειλόντων.

νῦν πᾶς κίνδυνος ἐνθάδ' ἀνεῖται σοφίας, ἧς πέρι τοῖς ἐμοῖς φίλοις ἐϛὶν ἀγὼν μέγιϛος." A Nub. 952.

νῦν σωθείην, ἵν' ᾖ μοι δίδαγμα τοῦτο

τοῦ λοιποῦ χρόνου." παρὰ τὸν μῦθον εἴρηται τοῦτο τῆς μανθανούσης χελώνης ἵπτασθαι παρὰ τοῦ ἀετοῦ καὶ πεσούσης.

νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος" ⟨A Pac. 288⟩ ἐπὶ τῶν χαρμοσυνῶν· ὁ γὰρ Δᾶτις σατράπης Περσῶν, ὃς εὐδοκιμήσας κατὰ τὸν πόλεμον, ἑλληνίζειν βȣλόμενος εἶπεν "ἥδομαι καὶ εὐφραίνομαι καὶ χαίρομαι" καὶ ἐβαρβάρισεν.

νὺξ εὐφρόνη, καὶ ἡ σκοτία. νὺξ ἐςὶ σκιὰ γῆς, ἀλλ' ȣ̓χ ἡ τυχȣ̃σα ἀλλ' ἡ γινομένη παρὰ τὴν τοῦ ἡλίου αἰτίαν, τῷ εἶναι αὐτὸν ἐν τῷ ὑπὸ γῆν, ὡς πρὸς τούτους παρ' οἷς ἐςὶν ἡ νύξ, ἡμισφαιρίῳ, ὥσπερ οὐχ ὁ ὑφ' ὁποιασȣ̃ν ἡδονῆς κρατούμενος ἀκρατής, ἀλλ' ὁ ὑπό τινος.

νὺξ ὑγρά χαλεπή, φησί.

νυρίζει ξύει, νύσσει.

νύρων νύττων.

Νυσήιον ὄρος Διονύσου.

νύσια ὀρχήματος εἶδος. τῶν γὰρ ὀρχήσεων ἣ μὲν Βερεκυντιακὴ λέγεται, ἣ δὲ Κρητική, ἣ δὲ Παρική. Νύσια οὖν τὰ Βερεκύντια· Νυσίας γάρ ἐςιν ἡ Βερέκυντος· Κνωσία δὲ ἡ Κρητική. ἐν Μυσίᾳ γὰρ καὶ Κνωσῷ ἐπιμελὴς ἡ ὄρχησις. Νύσια δὲ τὰ ἐν τῇ Νύσῃ γινόμενα· ἔςι δὲ αὕτη Διονύσου ἱερά. καὶ τὰ Κνώσια ὡσαύτως. ἄλλως. τῶν ὀρχήσεων αἳ μέν εἰσι Διονυσιακαί, αἳ δὲ Κορυβαντιακαί, αἱ ἐνόπλιοι. Νύσιαι δὲ αἱ Διονυσιακαί, Κνώσιαι δὲ αἱ Κορυβαντιακαί· Κνωσὸς γὰρ πόλις Κρήτης, ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν Κορυβάντων ἐτράφη ὁ Ζεύς. sch. S Ai. 699.

νύσσα καμπτήρ, τέρμα, βαθμίς.

νύχιος νυκτερινός.

νύχος νύξ.

νώ ἀντὶ τοῦ αὐτόν· Ἀριςοφάνης Πλȣ́τῳ ⟨401⟩ "βλέψαι ποιῆσαι νώ" ἀντὶ τοῦ αὐτόν. ἢ ἀντὶ τοῦ δεῖ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι.

νωγαλέον. Athen. p. 47.

νωδός ⟨A Ach. 715, Plut. 266⟩ ὁ μὴ ἔχων ὀδόντας.

νώδυνον ἀνώδυνον.

Νῶε ὄνομα κύριον.

νωθείας βραδυτῆτος.

νωθέςερος βραδύτερος.

νωθής βραδύς, ἀκίνητος, ἄλογος.

νωθρεία. καὶ νωθρός ὁ ἀσθενής· "νωθρότερος ὑπάρχων τοῦ τῆς βασιλείας προσχήματος τῇ φύσει."

νωθρότης ἡ βραδυτής.

νῶι. νωίτερος.

νῶιν ἡμῖν· Ἀριςοφάνης ⟨Av. 124⟩ "μείζω a
μὲν οὐδέν, προσφορωτέραν δὲ νῷν." ⟨15⟩ "ἔφασκε νῷν φράσειν τὸν Τηρέα." ⟨Eq. 80⟩ "κράτιςον οὖν νῷν ἀποθανεῖν ἀνδρικώτατα. βέλτιςον ἡμῖν αἷμα ταύρειον πιεῖν· ὁ Θεμιςοκλέους γὰρ θάνατος αἱρετώτερος." περὶ Θεμιςοκλέους οὖν Σοφοκλῆς φησὶν ⟨Aegei fr. 2⟩ "ἐμοὶ δὲ λῷςον αἷμα ταύρειον πιεῖν."

νῶιν, τουτέςιν ἡμῖν, δυϊκῶς. b

νωίτερον ἡμέτερον. Hom. *O* 39.

νῶκαρ ὁ δυσκίνητος.

νωλεμέως ἀδιαλείπτως.

Νῶμα ὄνομα χώρας.

νωμῆσαι κινῆσαι, καὶ μερίσαι.

νώμησις ἡ κίνησις.

Νωμίτωρ ὄνομα κύριον.

νωμῶν κρίνων, ἐξετάζων· Σοφοκλῆς ⟨OR 300⟩ "ὦ πάντα νωμῶν Τειρεσία, ἀρρητά τ' οὐράνιά τε καὶ χθονοςιβῆ."

Νωνακρίνη λέγεται ἡ Καλλιςώ.

Νωνᾶς ὄνομα κύριον.

νώνυμος ἀνώνυμος, ἄδοξος· ⟨AP 7 17⟩ "οὐδέ τις ἔςαι τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἥλιος."

νῷ πείθȣ παροιμία, ὁμοία τῷ θεῷ ἕπȣ.

Νώρα ὄνομα χώρας.

Νώρβα ὄνομα χώρας.

Νωρβανός ὄνομα κύριον

Νωρικία ὄνομα χωρίου.

νῶροψ ὁ λαμπρός.

νῶσαι εἰς νοῦν λαβεῖν.

νωσάμενος νοήσας, γνούς, παρὰ Καλλιμάχῳ.

νῶτα θαλάσσης ⟨Hom. *B* 159⟩ ἡ ἐπιφάνεια τῆς θαλάσσης.

νωτάρης ὁ ἐπὶ νώτȣ αἴρων καὶ βαςάζων.

νωτιαία θρίξ ἡ τῶν μεταφρένων.

νωτίζω τὰ νῶτα μεταςρέφω, καὶ νωτίσαι ἀπελάσαι, ἀπὸ μεταφορᾶς τῶν τὰ νῶτα διδόντων ἐν ταῖς φυγαῖς. sch. S OR 193.

νωτοπλῆγα μαςιγίαν, τὸν εἰς τὰ νῶτα τὰς πληγὰς λαμβάνοντα· Φερεκράτης Κραπατάλοις "καὶ νωτοπλῆγα μὴ ταχέως διακονεῖν."

νῶτος ἡ ψόα τοῦ ἀνθρώπου. "τὸ δὴ λεγόμενον, τὸ πλῆθος τῶν Ἀβάρων εἰς τὰ νῶτα περισύρεσθαι."

νωτοφόρος ὁ ἐπὶ νώτου βαςάζων.

νωχελῆ βραδέα.

νωχελής βραδύς, ὁμαλός, ἄχρηςος.

νωχελία ἀργία. Hom. T 411.

ξαίνειν τὸ τύπτειν, καὶ ξαίνεσθαι τὸ πάσχειν. φησὶν οὖν, ἡ βύρσα σε τυπτομένη διαφθαρήσεται· εἰ γὰρ βυρσεῖς τὰς βύρσας ξύλοις τύπτειν εἰώθασιν, ἵνα ἁπαλαὶ γενόμεναι διαλάβοιεν εὐχερῶς τοῦ φαρμάκου (sch. A Eq. 368). "ἐκέλευσε δὲ τὸ σῶμα ξαίνειν μάςιξι πάνυ πολλαῖς" (Dionys. Hal. fr. Ambros. 13). καὶ ἐν ἐπιγράμματι (AP 6 223) "πολλὰ θαλασσαίῃ ξανθὲν ὑπὸ σπιλάδι." περὶ ὀξέω σκολοπένδρης ὁ λόγος.

ξαίνω νήθω, διαλύω, σωρεύω.

ξανᾶν πονεῖν τὰς καρπὰς τὰς γυναῖκας τοὺς τῶν χειρῶν διὰ συνεχῆ τῶν ἐρίων ἐργασίαν.

ξανήσει κοπιάσει.

ξανθήν πυρροειδῆ.

ξανθίζεσθαι κοσμεῖσθαι τὰς τρίχας.

ξανθίζετε, οἷον τῷ μέλιτι χρωτίζετε, ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε. ἡ γὰρ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐςὶν ἵνα πυρρὰ ᾖ. sch. A Ach. 1046.

ξανθικός ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ ἀπρίλλιος.

Ξάνθιον ἐπίσκοπον.

ξάνθοισιν ὀρνέοις.

Ξάνθος Κανδαύλου, Λυδὸς ἐκ Σάρδεων, ἱςορικός, γεγονὼς ἐπὶ τῆς ἁλώσεως Σάρδεων, Λυδιακά, βιβλία δ΄. ἐν δὲ τῷ β΄ τούτων ἱςορεῖ ὡς πρῶτος Γύγης ὁ Λυδῶν βασιλεὺς γυναῖκας εὐνούχισεν, ὅπως αὐταῖς χρῷτο ἀεὶ νεαζούσαις. οὗτος ἱςορεῖ ὁ Ξάνθος Ἄλκιμόν τινα βασιλεῦσαι τῆς ἐκεῖσε χώρας, εὐσεβέςατον καὶ πραότατον ἄνδρα· καὶ ἐπ' αὐτοῦ γενέσθαι εἰρήνην βαθεῖαν καὶ πλοῦτον πολύν, ἀδεῶς δὲ καὶ ἀνεπιβουλεύτως ζῆν ἕκαςον. εἶτα ἐπειδὴ ζ΄ ἔτη ἦν τῷ Ἀλκίμῳ, προελθόντας τοὺς Λυδοὺς παγγενεὶ τε καὶ πανδημεὶ προσεύξασθαι, καὶ αἰτῆσαι τῷ Ἀλκίμῳ τοιαῦτα ἔτη δοθῆναι ἐς τὸ Λυδῶν ἀγαθόν· ὃ καὶ γέγονε, καὶ ἐν εὐποτμίᾳ τε καὶ εὐδαιμονίᾳ πολλῇ διῆγον. Hesych. Mil.

Ξάνθος ὁ ποταμός, ξανθὸς δὲ ὁ πυρρός.

ξανθότερος καὶ ξανθότατος.

ξάνιον κτένιον, ὃ φοροῦσιν αἱ γυναῖκες ἐν τοῖς ἀναδήμασιν. οἱ δέ, κόσμος χρυσοῦς ἐπὶ κεφαλῆς.

ξανῶ κοπιάσω. Σοφοκλῆς Ποιμέσιν· Ἕκτωρ τοῖς Ἀχαιοῖς βουλόμενος μάχεσθαί φησιν "ἡδὺ ξανῆσαι καὶ προγυμνάσαι χέρα."

ξεινήιον. καὶ ξεινήιος Ζεύς.

ξεινοδόκος.

ξεῖνοι οἱ ἀπὸ ξένης φίλοι.

ξένα θαυμαςά.

ξεναγία δύο πεντακοσιαρχίαι, ἀνδρῶν ͵ακδ΄. οἱ δὲ πλεῖςοι τοῦτο τὸ πλῆθος χιλιαρχίαν καλοῦσι, καὶ χιλίαρχον τὸν ἡγούμενον.

ξεναγοί παρὰ Θουκυδίδῃ (2 75) οἱ τῶν μισθοφόρων ἄρχοντες· "οἵ τε ξεναγοὶ ἑκάςης πόλεως ξυνεφεςῶτες ἠνάγκαζον εἰς τὸ ἔργον."

ξεναγός ὁ τῶν ξένων ἡγεμών.

ξεναγῶν ξενοδοχῶν.

Ξέναρχος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐςὶ Βουταλίων, ὡς Ἀθήναιός φησιν ἐν β΄ τῶν Δειπνοσοφιςῶν, καὶ Πορφύρα καὶ Σκύθαι, ὡς ὁ αὐτός, καὶ Δίδυμοι καὶ Πένταθλος καὶ Πρίαπος, Ὕπνος, Στρατιώτης.

ξένας θαυμαςάς· Πισίδης (Exp. Heracl. 3 61) "ὕλας χορηγῶν καὶ τοσαυτας καὶ ξένας."

Ξένετος ὄνομα κύριον.

ξενηλατεῖν. Λακεδαιμόνιοι μετὰ πληγῶν ἐξήλαυνον τοὺς ξένους. Ἀριςοφάνης (Av. 1009) "τί δ' ἐςὶ δεινόν; ὥσπερ ἐν Λακεδαίμονι ξενηλατοῦνται, καὶ κεκίνηνταί τινες πληγαὶ συχναὶ κατ' ἄςυ." ποτὲ γὰρ ἐκεῖσε σιτοδείας γενομένης ξενηλασία γέγονε.

ξενία. καὶ ξενίζω· (S El. 96) "φοίνιος Ἄρης οὐκ ἐξένισεν αὐτόν," τουτέςιν οὐκ ἀπέκτεινε· ξένια γὰρ Ἄρεος τραύματα καὶ φόνοι. καὶ Ἀρχίλοχος (fr. 105) "ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενος."

ξενίαν καταγώγιον, κατάλυμα.

Ξενίας ὄνομα κύριον.

ξενίζειν ξένῃ χρῆσθαι φωνῇ ἢ ξενικοῖς a ἐπιτηδεύμασι. δηλοῖ δὲ καὶ τὸ ξενίας χάριν τινὰ ὑποδέξασθαι.

ξενίζειν οἱ μὲν ξένῃ διαλέκτῳ χρῆσθαι, b οἱ δὲ ἐν τῇ ξένῃ διατρίβειν.

ξενίην συνεθήκατο παρὰ Ἡροδότῳ (1 27), ὡς ξένιον ἐδωρήσατο.

ξενικοῖς ἀντὶ τοῦ ἀλλοτρίοις καὶ μὴ προσήκουσιν, ὅτι ἀνοίκειον Ἑλλήνων τὸ ἐξαπατᾶσθαι. ἢ ξενικοῖς τοῖς ὑπὸ τῶν ξένων πρέσβεων λεγομένοις. Ἀριςοφάνης (Ach. 634) "παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι."